ISBN [SET] 978-618-5314-17-0
ISBN [ΤΟΜΟΣ Α΄] 978-618-5314-18-7

Καρυές, 630 86 ΑΓΙΟΝ ΟΡΟΣ, τηλ.: 2377888087, e-mail: pek@vatopedi.gr

ΔΙΑΤΑΞΕΙΣ
ΤΗΣ ΘΕΙΑΣ ΛΕΙΤΟΥΡΓΙΑΣ


ΚΑΤΑ ΤΑ ΒΑΤΟΠΑΙΔΙΝΑ ΧΕΙΡΟΓΡΑΦΑ
ΤΟΥ ΙΔ΄ ΑΙΩΝΑ

ΤΟΜΟΣ Α΄

ΚΕΙΜΕΝΑ



ΙΕΡΑ ΜΕΓΙΣΤΗ ΜΟΝΗ ΒΑΤΟΠΑΙΔΙΟΥ
ΑΓΙΟΝ ΟΡΟΣ 2019



Ὁσιώτατοι, ὅ τε Καθηγούμενος Ἀρχιμανδρίτης κύριος Ἐφραὶμ καὶ οἱ λοιποὶ πατέρες τῆς ἐν Ἁγίῳ Ὄρει καθ' ἡμᾶς Ἱερᾶς Βασιλικῆς, Πατριαρχικῆς καὶ Σταυροπηγιακῆς Μονῆς τοῦ Βατοπαιδίου, τέκνα ἐν Κυρίῳ πολυφίλητα τῆς ἡμῶν Μετριότητος, χάρις εἴη τῇ ὑμῶν Ὁσιότητι καὶ εἰρήνη παρὰ τοῦ πλουσιοδώρου Θεοῦ ἡμῶν.

Ἀσμενῶς ἐπληροφορήθημεν διὰ τοῦ ὑπ' ἀριθμ. Πρωτ. 1447/20.1.1. καὶ ἀπὸ κ΄ Ὀκτωβρίου ἐ.ἔ. γράμματος τῆς ἀγαπητῆς Ὁσιότητος ὑμῶν, τὴν πρόθεσιν τῆς Ἱερᾶς Μονῆς τοῦ Βατοπαιδίου, ὅπως προβῇ εἰς νέαν Λειτουργικὴν ἔκδοσιν, ἀφορῶσαν εἰς τὰς Τυπικὰς Διατάξεις τῆς Θείας Λειτουργίας, τὰς διαλαμβανομένας ἐν χειρογράφοις τοῦ ΙΔ΄ αἰῶνος τῆς καθ' ὑμᾶς Ἱερᾶς Μονῆς.

Ἡ νέα αὕτη ἀξιέπαινος κατὰ πάντα πρωτοβουλία τῆς Ἱερᾶς Μονῆς Βατοπαιδίου δὲν ἀποβλέπει προφανῶς εἰς τὴν ἔκδοσιν νέου Λειτουργικοῦ Βιβλίου, ὑπὸ τὴν στενὴν τοῦ ὅρου ἔννοιαν, οὔτε, περισσότερον, ἀποβλέπει εἰς τὴν ὑποκατάστασιν τοῦ ἰσχύοντος Τυπικοῦ, ἀλλὰ εἰς τὴν προσφορὰν εἰς τὸν ἐπιστημονικὸν κόσμον καὶ τὸ φιλακόλουθον χριστεπώνυμον πλήρωμα τοῦ ἀναγκαιοῦντος ὑλικοῦ διὰ νὰ μελετηθῇ καλλίτερον ὁ ὑψίστου ἐνδιαφέροντος, θεωρητικοῦ τε καὶ πρακτικοῦ, τομεὺς τῆς Θείας Λατρείας, νὰ διαφωτισθῇ ἡ ἱστορία καὶ ἡ ἐξέλιξις τῶν Λειτουργικῶν τύπων καὶ νὰ προβληθῇ ἡ ἀκριβὴς τάξις καὶ ἡ σεβασμία λειτουργικὴ παράδοσις.

Οἱ συγγραφεῖς τῶν Βατοπαιδινῶν χειρογράφων, λογιώτατοι καὶ εὐλαβέστατοι κληρικοὶ καὶ μοναχοί, διάδοχοι καὶ συνεχισταὶ τῆς ἀκριβεστάτης λειτουργικῆς παραδόσεως τῶν Φιλοκαλικῶν Πατέρων –τῶν «Κολυβάδων» τοῦ Ἁγίου Ὄρους– οὔτε καινοτόμοι, οὔτε νεωτερισταὶ ἐπεθύμουν νὰ φανοῦν, κανονίζοντες νέας τινὰς Τυπικὰς διατάξεις, ἀλλὰ φόβῳ Θεοῦ κατέστρωσαν καὶ κατέγραψαν σαφῶς καὶ ἐπακριβῶς τὴν μοναχικὴν λειτουργικὴν τάξιν καὶ παράδοσιν εἰς μίαν κρίσιμον διὰ τὴν Θείαν Λατρείαν ἐποχήν. Ἐξαίρομεν, εἰδικώτερον, ὡς ἀξιοσημείωτον τὴν προσπάθειαν τοῦ ἐκ τῶν προκατόχων τῆς ἡμῶν Μετριότητος ἁγίου Φιλοθέου, Πατριάρχου Κωνσταντινουπόλεως τοῦ Κοκκίνου, ὁ ὁποῖος, διὰ τῆς συγγραφῆς τῆς «Διατάξεως τῆς Θείας Λειτουργίας καὶ τῶν λοιπῶν Ἱερῶν Ἀκολουθιῶν» περὶ τὸ τέλος τῆς Βυζαντινῆς περιόδου, ἐπεδίωξε τὴν ἀποτύπωσιν ἑνὸς λεπτομερεστάτου ὁδηγοῦ-Τυπικοῦ, ἀληθοῦς Πανδέκτου τῆς λειτουργικῆς παραδόσεως.

Αἱ δημοσιευόμεναι διὰ τῆς παρούσης ἐκδόσεως τυπικαὶ διατάξεις δύνανται καὶ σήμερον νὰ ἀποβοῦν πρακτικῶς ἐπωφελεῖς, δεδομένης τῆς μεθ' ἱκανοποιήσεως παρατηρουμένης ἐπ' ἐσχάτων ἀναβιώσεως τοῦ μοναχικοῦ βίου καὶ τῆς ἀξιεπαίνου ἀναζητήσεως, τῆς ἐκδηλουμένης ἰδιαιτέρως εἰς τὰς νέας πολυμελεῖς ἀδελφότητας, γνησιοτέρων καὶ ἀκριβεστέρων μορφῶν Λατρείας. Ἄλλως, βεβαίως, ἔχουσι τὰ πράγματα εἰς τὰς Ἐνορίας, ἔνθα τηρεῖται μὲν κατ' ἀρχὴν τὸ κοινὸν μοναχικὸν Τυπικόν, αἱ ἰδιαίτεραι συνθῆκαι, ὡστόσον, ὑπαγορεύουν συντμήσεις καὶ περικοπάς, ἀναγκαίας μέν, εἰς βάρος, ὅμως, τῆς Λειτουργικῆς τάξεως καὶ τῆς Τυπικῆς ἀκριβείας.

Συγχαίροντες, ὅθεν, πατρικῶς καὶ ὁλοθύμως, διὰ τῶνδε τῶν Πατριαρχικῶν ἡμῶν εὐχετικῶν Γραμμάτων τὴν νέαν ταύτην πρωτοβουλίαν τοῦ πολυσχιδοῦς πνευματικοῦ, ἐκδοτικοῦ καὶ πολιτισμικοῦ ἔργου τῆς Ἱερᾶς ὑμῶν Μονῆς, ἀπονέμομεν ὑμῖν ὁλόθυμον τὴν Πατριαρχικὴν καὶ πατρικὴν ἡμῶν εὐλογίαν, εὐχόμενοι ὅπως Κύριος ὁ Θεός, διὰ πρεσβειῶν τῆς Ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου, τῆς ἐφόρου τῆς Ἱερᾶς Μονῆς Βατοπαιδίου, κρατύνῃ πάντας ὑμᾶς, ἐπὶ αἰσίᾳ τελεσφορήσει τοῦ μοναστικοῦ ὑμῶν ἀγῶνος, καὶ ἐπευλογῇ τὰ τίμια ὑμῶν ἔργα, πρὸς δόξαν καὶ εὔκλειαν τῆς Μητρὸς πάντων ἡμῶν Ἁγίας τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας καὶ οἰκοδομὴν τοῦ λαοῦ τοῦ Θεοῦ, Οὗ ἡ χάρις καὶ τὸ ἄπειρον ἔλεος εἴησαν μεθ' ὑμῶν πάντων, τέκνα ἀγαπητὰ ἐν Κυρίῳ.

,βιη' Νοεμβρίου ιδ'

† Ὁ Κωνσταντινουπόλεως διάπυρος πρὸς Θεὸν εὐχέτης

ΠΡΟΛΟΓΟΣ

Ἡ τοῦ Χριστοῦ Ἐκκλησία δίνει στὸν κάθε ἄνθρωπο τὴν δυνατότητα νὰ λατρεύει τὸν ἐπουράνιο Πατέρα ἐν πνεύματι καὶ ἀληθείᾳ. Ὅλος ὁ ἄνθρωπος –τὸ πνεῦμα, ἡ ψυχὴ καὶ τὸ σῶμα– συμμετέχει σ' αὐτὴν τὴν λατρεία. Μὲ τὸν ἴδιο τρόπο καὶ ἡ θεία λατρεία ἔχει, ἂς μᾶς ἐπιτραπεῖ ἡ παρομοίωση, τὴν ψυχὴ καὶ τὸ σῶμα της. Ἡ μὲν ψυχὴ εἶναι ἡ ἐνέργεια τῆς θείας Χάριτος, τὸ δὲ σῶμα τὰ ἐξωτερικὰ σύμβολα καὶ οἱ τύποι. Παρ' ὅλο ποὺ «τὸ σῶμα χωρὶς πνεύματος νεκρόν ἐστιν» (Ἰακ. 2,26) καὶ ὁ Κύριος μᾶς παραγγέλλει νὰ δίνουμε βαρύτητα στὰ πνευματικά, ὡστόσο «κἀκεῖνα», δηλαδὴ τὰ ἐξωτερικὰ σχήματα, ἔχουμε ἐντολὴ «μὴ ἀφιέναι», νὰ μὴν τὰ παραλείπουμε. Γι' αὐτό, καὶ στὴν Παλαιὰ καὶ στὴν Καινὴ-Νέα Διαθήκη ὁ Θεὸς καθορίζει μὲ ἀκρίβεια κάθε λεπτομέρεια τῆς λατρευτικῆς τελετουργίας, καθόσον εἶναι ὄχι τῆς ἀκαταστασίας, ἀλλὰ τῆς εἰρήνης Θεός (βλ. Α΄ Κορ. 14,33). Μία δὲ ἀπὸ τὶς προϋποθέσεις γιὰ τὴν ἐπίτευξη τῆς εἰρήνης εἶναι ἡ εὐταξία.

Σὲ αὐτὴν ἀκριβῶς τὴν εἰρηνική, εὔρυθμη καὶ ὀρθὴ ἐπιτέλεση τῆς θείας Λειτουργίας ἀφιερώνεται ἡ παροῦσα ἔκδοση, ἡ ὁποία ἀποτελεῖ μία ἐπὶ πλέον ἔκφραση τῆς ἐπιθυμίας τῆς ἀδελφότητός μας νὰ μοιραστεῖ τὸν πνευματικὸ καὶ πολιτιστικὸ πλοῦτο τῆς ἱστορικῆς μας Μονῆς μὲ τὸ πλήρωμα τῆς Ἐκκλησίας. Στὴν ἔκδοση αὐτὴ παρατίθενται αὐτούσια τὰ κείμενα τῶν διατάξεων, δηλαδὴ λειτουργικῶν ὁδηγιῶν, ἀφ' ἑνὸς ὡς βοήθημα σὲ ὅλους τοὺς ἐρευνῶντας τὶς λειτουργικὲς διατάξεις, ἀφ' ἑτέρου δέ, ὡς εὐκαιρία γιὰ τοὺς ἐπιθυμοῦντας νὰ μελετήσουν τὶς ῥίζες καὶ τὶς πηγὲς τῆς λατρευτικῆς μας παραδόσεως, ὥστε νὰ «γνωρίσωμεν τὴν λειτουργικὴν ὁδὸν ἐν ᾗ πορευσόμεθα».

Εὐχαριστοῦντες θερμῶς τοὺς ἀγαπητοὺς ἀδελφοὺς καὶ συνεργάτες στὴν κατάρτιση τοῦ μικροῦ τούτου πονήματος, ἐλλογιμωτάτους καθηγητές: τὸν κ. Παναγιώτη Σκαλτσῆ (ὁ ὁποῖος ἐξεπόνησε καὶ τὰ Προλεγόμενα), τὸν κ. Γεώργιο Φίλια, τὸν πρωτ. Μιχαὴλ Zheltov, τὸν πρωτ. Ἀλέξανδρο Rentel, τὸν κ. Erich Lamberz, τὸν κ. Shota Gugushvili καὶ τὴν κα Καίτη Μαντζαρίδου, εὐχόμαστε σὲ ὅλους τοὺς ἀναγνῶστες «ἀναζωπυρεῖν» τὴν ἀγάπη τῆς εὐπρέπειας τοῦ οἴκου Κυρίου.

† Ἀρχιμ. Ἐφραίμ

Ὁ Καθηγούμενος
τῆς Ἱερᾶς καὶ Σεβασμίας
Μεγίστης Μονῆς τοῦ Βατοπαιδίου

Τὰ Γενέθλια τοῦ Κυρίου ἡμῶν
Ἰησοῦ Χριστοῦ ,βιη' / ,βιθ'

ΠΡΟΛΕΓΟΜΕΝΑ

Κατὰ τὸν οὐρανοφάντορα καὶ πρωτεργάτη τῆς διαμόρφωσης τοῦ λειτουργικοῦ τυπικοῦ Μέγα Βασίλειο ἡ θεία Λατρεία ὁρίζεται ὡς *«ἡ συντεταμένη καὶ διηνεκὴς καὶ ἀμετεώριστος περὶ τὸ λατρευόμενον θεραπεία»*[1]. Οἱ Ἀκολουθίες δηλαδὴ καὶ τὰ ἱερὰ Μυστήρια, μὲ πρῶτο αὐτὸ τῆς θείας Εὐχαριστίας, ποὺ ἐνσαρκώνουν τὴ λειτουργικὴ τῆς Ἐκκλησίας προσευχὴ καὶ ἁγιάζουν τὸν ἄνθρωπο, ἐκτὸς ἀπὸ τὸν ἀδιάλειπτο καὶ ἡσύχιο χαρακτῆρα των, διέπονται καὶ ἀπὸ τὴν εὔτακτη καὶ εὐσχήμονα τέλεσή των.

Ἡ Τάξη εἶναι ταυτισμένη μὲ τὴν ἱστορία, τὴ θεολογία καὶ τὴ ζωὴ ἐν γένει τῆς Ἐκκλησίας. Ὅπως μάλιστα σημειώνει σύγχρονος μελετητὴς τῆς λειτουργικῆς θεολογίας *«ἡ Τάξη δὲν μπορεῖ νὰ εἶναι ἄσχετη πρὸς τὴν πραγματικὴ φύση τῆς χριστιανικῆς λατρείας, ὡς λατρείας "ἐν πνεύματι καὶ ἀληθείᾳ"* (Ἰω. 4,23), *ὡς "λογικῆς λατρείας"* (Ρωμ. 12,1), *δηλαδὴ ὡς λατρείας μετὰ λόγου καὶ ἐννοίας. Δὲν μπορεῖ νὰ εἶναι ἄσχετη πρὸς τὴν οὐσία τῆς Ἐκκλησίας ὡς τοῦ νέου λαοῦ τοῦ Θεοῦ καὶ τοῦ σώματος τοῦ Χριστοῦ, ποὺ ζεῖ ὄχι μόνο μὲ τὸν νόμο, ἀλλὰ καὶ μὲ τὴν Χάρη»*[2]. Ἡ λεπτομερὴς πολλὲς φορὲς τελετουργία καὶ ἡ ποικιλία τῶν διατάξεων ποὺ ρυθμίζουν τὸν κανόνα τῆς Λατρείας δὲν ὑπάρχουν γιὰ νὰ κουράζουν καὶ δοκιμάζουν ἁπλῶς τὶς ἀντοχές μας. Ἀντιθέτως λειτουργοῦν ὡς ὁδηγὸς στὴν ἄσκηση τῆς προσευχῆς, ὡς τρόπος ἐμβάθυνσης στὴ θεολογία καὶ ὡς ζωντανὴ ἀποκάλυψη τῆς διδασκαλίας τῆς Ἐκκλησίας, τῆς αὐτοσυνειδησίας καὶ τοῦ αὐτοπροσδιορισμοῦ της[3].

Ἡ σπουδαιότητα τῆς Τάξης γιὰ τὴ θεία Λατρεία, τὴν πνευματικότητα καὶ ἑνότητα τοῦ ἐκκλησιαστικοῦ σώματος προβάλλεται ἀπὸ αὐτὴν τὴν Καινὴ Διαθήκη. Ὁ Ἀπόστολος τῶν ἐθνῶν Παῦλος ἀπευθυνόμενος στοὺς Κορινθίους τοὺς προτρέπει κατὰ τὶς λατρευτικές των συνάξεις νὰ τὰ κάνουν ὅλα *«εὐσχημόνως καὶ κατὰ τάξιν»* (Α΄Κορ. 14,40), ἐμπνευσμένοι ἀπὸ τὸ ὅτι ὁ Θεὸς *«οὐ γάρ ἐστιν ἀκαταστασίας Θεός, ἀλλ' εἰρήνης»* (Α΄Κορ. 14,33), καὶ μὲ κριτήριο πάντοτε τὴν οἰκοδομὴν τοῦ πληρώματος τῆς Ἐκκλησίας (Α΄Κορ. 14,26).

Στὸ ἴδιο πνεῦμα καὶ ἡ μετέπειτα Πατερική, Κανονικὴ καὶ Λειτουργικὴ Παράδοση ἀνέδειξε τὴ σημασία τῆς Τάξης γιὰ τὴν σωστὴ καὶ ὁμαλὴ ἐκτέλεση τῶν μυστηρίων, καὶ δὴ τῆς θείας

[1] Μεγάλου Βασιλείου, Κεφάλαια τῶν ὅρων τῶν κατ' ἐπιτομήν, σλ΄, PG 31, 1236B.

[2] Πρωτ. Ἀλεξάνδρου Σμέμαν, Ἡ Ἐκκλησία Προσευχομένη. Εἰσαγωγὴ στὴ Λειτουργικὴ Θεολογία, Μετάφραση-ἐπιμέλεια: πρωτ. Δημήτριος Τζέρπος, ἐκδ. «Ἀκρίτας», Ἀθήνα [2]2003, σ. 54.

[3] Ὅ.π., σ. 274.

Λειτουργίας. *«Ἡ Ἐκκλησία κατέβαλε κάθε δυνατὴ προσπάθεια νὰ διατηρηθεῖ ἡ τάξη στὴν ἐκκλησιαστικὴ ζωή, κυρίως στὴ λειτουργικὴ πράξη, καθόσον κατὰ τὴν ὥρα τῆς Λατρείας τοῦ Θεοῦ ἐκδηλώνεται ἡ συγκρότηση του ἐκκλησιαστικοῦ σώματος»* [4]. Ὁ ἅγιος Διονύσιος ὁ Ἀρεοπαγίτης π.χ. συνδέει τὴν *«ἐκκλησιαστικὴ εὐταξία»* μὲ τὴν οὐράνια εὐταξία[5]. Σὲ συνοδικὰ κείμενα γίνεται λόγος περὶ *«κανονικῆς εὐταξίας»* συνδεδεμένης ἄμεσα μὲ τὴν λειτουργικὴ εὐταξία[6]. Ἀργότερα ὁ ἅγιος Συμεὼν Θεσσαλονίκης ὑπεραμύνεται μὲ τὸν πλέον εὐδιάκριτο τρόπο τῆς Τάξης τῆς Ἐκκλησίας ἡ ὁποία ἀκολουθεῖ τὴν ἐν τοῖς οὐρανοῖς εὐταξία· *«Μὴ παράλυε τοιγαροῦν τὴν ἄνωθεν τάξιν, ἀλλὰ μᾶλλον ἔσο συντηρῶν ταύτην, καὶ ὑπὲρ αὐτῆς ζηλῶν ὅση δύναμις· καὶ μὴ μόνον σπούδαζε ἃ παρέλαβες συνιστᾶν, ἀλλὰ καὶ προσθήκαις ἱεραῖς ἐπαυξάνειν καὶ κοσμεῖν ταῦτα, ὡς καὶ οἱ πατέρες ἡμῶν. Ὑπερμάχει οὖν τῶν ἱερῶν τάξεων, ἵνα μισθοὺς πολλαπλοὺς κομίσῃ παρὰ Θεοῦ, ὡς ἀγαπῶν εὐπρέπειαν οἴκου Κυρίου καὶ τὴν ἱερὰν τηρῶν τάξιν»*[7].

Γιὰ τὴν τέλεση τῆς θείας Λειτουργίας εἰδικότερα τηρήθηκε τὸ ὡς ἄνω πλαίσιο μὲ τὰ κριτήρια καὶ τὶς προϋποθέσεις ποὺ ἀναφέραμε. Τὸν κατὰ παράδοση προφορικὸ λόγο τῶν πρώτων αἰώνων διαδέχθηκαν τὰ γραπτὰ εὐχολογικὰ κείμενα ἀπὸ τὸν 4ο αἰ. καὶ ὕστερα. Ἀπὸ τὴν ἐποχὴ μάλιστα τῶν πρώτων χειρογράφων παρεμβάλλονται μεταξὺ τῶν εὐχῶν σύντομες φράσεις δίκην διατάξεων, ὅπως π.χ. *«ὁ ἱερεὺς ἀπάρχεται τῆς ἁγίας ἀναφορᾶς»* κ.ἄ. Ἀνάλογες ὑποτυπώδεις φράσεις ὑπεδείκνυαν καὶ τὸν τρόπο συμμετοχῆς τοῦ λαοῦ στὰ τελούμενα, ὅπως π.χ. *«ὁ λαός· Ἀμήν»*. Σὲ κάθε περίπτωση δὲν ἔχουμε ἀρχικὰ πλήρεις διατάξεις, διότι ἀκριβῶς τὰ περισσότερα λειτουργικὰ δελτία περιέχουν μόνον εὐχές. Ἡ σιωπὴ βέβαια τοῦ λειτουργικοῦ κειμένου ὅσον ἀφορᾶ τὶς διατάξεις *«δὲν σημαίνει ὅτι δὲν ὑπῆρχε σχετικὴ παράδοση. Ἀλλὰ σημαίνει ὅτι ὅλα αὐτὰ ἦταν γνωστὰ στοὺς λειτουργοὺς καὶ τὸ λαὸ καὶ μεταδιδόταν ἀπὸ γενεὰ σὲ γενεά, ἀπὸ στόμα σὲ στόμα καὶ τὴν καθημερινὴ πράξη τῆς Ἐκκλησίας. Γνώριζαν πῶς θὰ λειτουργήσουν. Δὲν περίμεναν νὰ τὸ μάθουν ἐκείνη τὴν ὥρα ἀπὸ τὰ λειτουργικὰ κείμενα»*[8].

Ἀπὸ τὸν 12ο καὶ κυρίως ἀπὸ τὸν 13ο αἰ. ἐμφανίζονται κείμενα-τυπικὰ τῆς θείας Λειτουργίας *«ὡς ἕνα σύνταγμα ὁδηγιῶν γιὰ τὴν τέλεσή της... Προφανὴς σκοπὸς τῶν συντακτῶν

[4] Θεοδώρου Ξ. Γιάγκου, Κανόνες καὶ Λατρεία, ἐκδ. «Μυγδονία», Θεσσαλονίκη 2006, σ. 12.

[5] PG 3, 3776C ἑξ. κ.ἀ.

[6] Γ. Ράλλη-Μ. Ποτλῆ, Σύνταγμα τῶν θείων καὶ ἱερῶν κανόνων, τόμ. Δ΄, Ἀθήνησιν 1854 (ἀνατ. 1966), σ. 355 [= P.-P. Ioannoy, *Discipline Générale antique* (IVe-IXes.), τ. II, *Les canons des Pères Grecs*, Ρώμη 1963, σ. 276]. Βλ. καὶ Θεοδώρου Ξ. Γιάγκου, ὅ.π., σ. 11.

[7] Συμεὼν Θεσσαλονίκης, Διάλογος, ΤΞΕ΄, PG 155, 680BC.

[8] Ἰωάννου Φουντούλη, «"Ἡ διάταξις τῆς Θείας Λειτουργίας" τοῦ ἁγίου Φιλοθέου τοῦ Κοκκίνου», ἐν *Πρακτικὰ Θεολογικοῦ Συνεδρίου εἰς τιμὴν καὶ μνήμην τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Φιλοθέου Ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τοῦ Θεσσαλονικέως* (14-16 Νοεμβρίου 1983), Θεσσαλονίκη 1986, σ. 104.

τῶν Διατάξεων αὐτῶν εἶναι ἡ ἐπιθυμία νὰ δώσουν στοὺς ἱερεῖς ἕνα αὐθεντικὸ τύπο γιὰ τὴν τέλεση τῆς θείας Λειτουργίας. Εἶναι μὲ ἄλλους λόγους περισσότερο διδακτικὰ ἐγχειρίδια παρὰ λειτουργικὰ κείμενα. Αὐτὸ φαίνεται καὶ ἀπὸ τὸν συνεχῆ τρόπο μὲ τὸν ὁποῖο γράφονται στὰ χειρόγραφα ποὺ κάθε ἄλλο παρὰ διευκολυντικὸς εἶναι γιὰ τὴν τέλεση ἀπὸ αὐτὰ τῆς θείας Λειτουργίας»*[9]. Χαρακτηριστικὸ παράδειγμα παλαιᾶς Διάταξης, ἀνωνύμου μάλιστα, ποὺ καταγράφει μὲ λιτὸ τρόπο τὴν πράξη τῆς Μεγάλης Ἐκκλησίας εἶναι αὐτὴ τοῦ 12ου αἰ.[10].

Ἀπὸ τὸν 14ο αἰ. μαρτυροῦνται καὶ δύο ἐπώνυμες καὶ πολὺ σημαντικὲς Διατάξεις. Ἡ πρώτη εἶναι τοῦ πρωτονοταρίου τῆς Μεγάλης Ἐκκλησίας Δημητρίου Γεμιστοῦ καὶ φέρει τὸν τίτλο *Διάταξις τῆς τοῦ πατριάρχου λειτουργίας πῶς γίνεται ἐν τῇ Μεγάλῃ Ἐκκλησίᾳ ἐν ᾗ καὶ ἡ τάξις τῶν χειροτονιῶν, πότε καὶ πῶς γίνεται ἑκάστη*[11]. Πρόκειται γιὰ τὸ πληρέστερο βυζαντινὸ ἀρχιερατικὸ τοῦ ὁποίου τὸ ἀρχαιότερο ἀντίγραφο (χφ. Ἱ.Μ.Μ.Β., ὑπ᾽ ἀρ. 135, ἔτους 1390) ἐκδίδεται σὲ αὐτὸν τὸν τόμο, γιὰ πρώτη μάλιστα φορὰ στὴν ἱστορία.

Σχετίζεται μὲ τὴν δεύτερη ἐπώνυμη Διάταξη, αὐτὴ τοῦ πατριάρχου Κωνσταντινουπόλεως ἁγίου Φιλοθέου Κοκκίνου, ἡ ὁποία εἶναι ἡ πιὸ γνωστὴ καὶ ἡ πλέον ἀποδεκτὴ σὲ ὅλον τὸν ὀρθόδοξο κόσμο[12]. Αὐτὴ τοῦ Δημητρίου Γεμιστοῦ ἐκφράζει κατὰ κάποιον τρόπο τὴν «μεταφιλοθεϊτικὴ» περίοδο. Τὸ στάδιο τῆς «προφιλοθεϊτικῆς» περιόδου ἐκπροσωπεῖται ἀπὸ τὴ Διάταξη ποὺ βρίσκεται στὸ χειρόγραφο τῆς Συνοδικῆς Βιβλιοθήκης Μόσχας, καὶ χρονολογεῖται μεταξὺ τῶν ἐτῶν 1289-1310, καὶ ἐκδίδεται ἐπίσης ἐδῶ. Μὲ βάση ἄλλα χειρόγραφα γίνεται μιὰ προσπάθεια σύγκρισης τοῦ κειμένου τῆς Διατάξεως τοῦ ἁγίου Φιλοθέου καὶ ἐντοπισμοῦ τῶν διαφορῶν ποὺ ὑπάρχουν μεταξὺ αὐτῶν τῶν χειρογράφων.

Ἡ Διάταξη τοῦ Φιλοθέου κατὰ τὸν καθηγητὴ Ἰωάννη Φουντούλη ἀποτελεῖ *«σταθμὸ στὴν ἐξέλιξη τῆς θείας Λειτουργίας. Σταθεροποίησε καὶ βαθμηδὸν ἑνοποίησε τὶς λειτουργικὲς τυπικὲς διατάξεις καὶ ἐξασφάλισε τὴν ὀρθὴ καὶ ὁμοιόμορφη τέλεση τῆς θείας Λειτουργίας»*[13]. Εἶναι γεγονὸς λοιπὸν ἡ συμβολὴ τοῦ Πατριάρχου Φιλοθέου στὴν περὶ τὴν θεία Λειτουργία ἐμπέδωση τῆς Τάξης. Ἡ βαθιὰ ἐκ μέρους του γνώση τῆς ἁγιορειτικῆς λειτουργικῆς παράδοσης καὶ ἡ ἐπιλογὴ ποὺ ὁ ἴδιος ἔκανε μέσα ἀπὸ παλαιότερες Διατάξεις συνέβαλαν

[9] Ὅ.π., σ. 105.

[10] Βλ. R. Taft, "The Pontifical Liturgy of the Great Church according to a twelfth-century Diataxis in Codex British Museum Add. 34060", ἐν *Orientalia Christiana Periodica* 45 (1979).

[11] Βλ. A. Dimitrievskij, *Opisanie Liturgitseskich rukopisej*, τ. II (Εὐχολόγια), Κίεβο 1901 (ἀνατ. 1965), σσ. 298-301. Βλ. καὶ Fr. Alexanter Rentel, *The 14th Century Patriarcal Liturgy Diataxis of Dimitrios Gemistos*. Edition and commentary, Roma 2004. Κωνσταντίνου Χ. Καραϊσαρίδη, Ἡ Διάταξις τῆς θείας Λειτουργίας τοῦ ἁγίου Φιλοθέου τοῦ Κοκκίνου, ἐκδ. «Ἄθως», Ἀθήνα, 2018, σσ. 76-77.

[12] Βλ. Ἰωάννου Φουντούλη, ὅ.π., σσ. 101-114. Π. Ν. Τρεμπέλα, Αἱ τρεῖς θεῖαι Λειτουργίαι κατὰ τοὺς ἐν Ἀθήναις κώδικας, Ἀθήνα ²1982. Κωνσταντίνου Χ. Καραϊσαρίδη, ὅ.π.

[13] Ἰωάννου Φουντούλη, ὅ.π., σ. 111.

ὥστε νὰ ἀποτυπωθεῖ ἡ ἀκριβὴς Τάξη καὶ νὰ καταστεῖ ὁδηγὸς γιὰ τὴν περαιτέρω πορεία τῆς Λατρείας. Ἀπὸ τὴν ἄποψη αὐτὴ ἡ Διάταξη τοῦ ἁγίου Φιλοθέου εἶναι ἐπίκαιρη καὶ στὶς μέρες μας, μολονότι ἔχουν παρέλθει ἀρκετοὶ αἰῶνες ἀπὸ τότε καὶ ἡ θεία Λατρεία ἔχει ἐξελιχθεῖ μὲ νέα δεδομένα.

Εἶναι ἀλήθεια ὅτι ἡ λειτουργικὴ ἔρευνα στηρίζει πολλὰ στὶς πηγές της καὶ δὴ στὴ χειρόγραφη παράδοση. Αὐτὴ κρύβει πτυχὲς ἄγνωστες ποὺ χρήζουν μελέτης καὶ προβολῆς στὴν ἐποχή μας. Γιὰ τὸν λόγο αὐτὸ ἐπικροτοῦμε ἰδιαίτερα τὸν πόθο καὶ τὸ ἐνδιαφέρον τῆς Ἱερᾶς Μεγίστης Μονῆς Βατοπαιδίου νὰ στραφεῖ πρὸς τὶς λειτουργικὲς πηγὲς καὶ νὰ ἀναδείξει τὴν ἀληθινὴ καὶ τὴν σεβασμία λειτουργική μας παράδοση μετὰ μάλιστα καὶ ἀπὸ τὸ κενὸ ποὺ ἄφησαν τὰ δύσκολα χρόνια τῆς Τουρκοκρατίας. Η πρωτοβουλία αὐτὴ τῆς ὡς ἄνω Ἱ. Μονῆς εἶναι κατὰ πάντα ἀξιέπαινη καὶ ἐλπίζουμε ὅτι θὰ συνεχισθεῖ τὸ ἔργο αὐτὸ πρὸς δόξαν Χριστοῦ καὶ τῆς ἁγίας Του Ἐκκλησίας. Οἱ Ἱερὲς Μονὲς ἄλλωστε πρωτοστατοῦσαν πάντοτε σὲ ἀνάλογες δραστηριότητες σὲ συνδυασμὸ μὲ τὸ κατ' ἐξοχὴν ἔργο τῶν μοναχῶν ποὺ εἶναι ἡ συνεχὴς καὶ ἄληκτος προσευχὴ καὶ ἡ βίωση τοῦ μυστηρίου τῆς θείας Οἰκονομίας μέσα ἀπὸ τὸ ἀνυπέρβλητο μέγεθος τῶν λειτουργικῶν γεγονότων.

Παναγιώτης Ἰ. Σκαλτσῆς
Καθηγητὴς Λειτουργικῆς
Τμήματος Θεολογίας Α.Π.Θ.

ΣΗΜΕΙΩΜΑ ΤΟΥ ΣΥΝΤΑΚΤΗ

«Διάταξις» ὡς λειτουργικὸς ὅρος δηλώνει ἕνα κείμενο μὲ λεπτομερεῖς ὁδηγίες γιὰ τοὺς κληρικοὺς γιὰ σωστὴ καὶ ὁμαλὴ τέλεση τῆς θείας Λειτουργίας. Οἱ Διατάξεις μαζὶ μὲ τὶς εὐχὲς ἀποτελοῦν τὰ δύο μέρη τῶν σημερινῶν Ἱερατικῶν. Αὐτὸ ὅμως παλιὰ δὲν ἦταν ἔτσι. Ἡ συντριπτικὴ πλειοψηφία τῶν λειτουργικῶν χειρογράφων περιέχει μόνο τὶς εὐχές, ἐνῶ οἱ Διατάξεις γράφονταν σὲ ἄλλα βιβλία: Εὐχολόγια, Τυπικά, κανονικὰ βιβλία κ.λπ. Μετὰ τὸν δέκατο αἰώνα ἀρχίζουν οἱ Διατάξεις νὰ συμπλέκονται μὲ τὶς εὐχές, ἀλλὰ πάλι ὄχι παντοῦ. Ὡς ἐκ τούτου στὰ χειρόγραφα παρατηρήθηκε μεγάλη ποικιλία ὡς πρὸς τὶς λεπτομέρειες.

Ἕνα ἀπὸ τὰ πιὸ σημαντικὰ γεγονότα στὴν ἱστορία τῶν Διατάξεων εἶναι ἡ σύνταξη τῆς Διάταξης τοῦ πατριάρχου Κωνσταντινουπόλεως Φιλοθέου τοῦ Κοκκίνου. Ὁ ἅγιος προσπάθησε νὰ δημιουργήσει ἕναν κοινὸ τύπο τῆς θείας λατρείας καὶ τὸ πέτυχε σὲ τέτοιο βαθμό, ὥστε ἡ Διάταξή του ἔγινε ὁρόσημο στὴν ἱστορία τῆς λειτουργικῆς καὶ ὅλες οἱ πρὸ αὐτῆς νὰ λέγονται πλέον «προφιλοθεϊκές».

Στὴν συνέχεια θὰ παρακολουθήσουμε τὴν ἐξέλιξη τῆς Διατάξεως τοῦ ἁγίου Φιλοθέου, ἀρχίζοντας ἀπὸ τὴν «σύλληψή» της, τὴν «προφιλοθεϊκὴ» Διάταξη, μέχρι τὴν συγχώνευσή της μὲ τὴν λειτουργικὴ πράξη τῆς Βασιλεύουσας.

Χωρίζουμε τὴν ἔκδοση σὲ δύο τόμους –τὰ κείμενα καὶ τὰ χειρόγραφα– γιὰ νὰ διευκολύνουμε τὴν μελέτη. Στὸν πρῶτο τόμο παρατίθενται δακτυλογραφημένα κείμενα τῶν χειρογράφων μὲ μικρὲς ἱστορικὲς καὶ λειτουργικὲς εἰσαγωγές, καὶ στὸν δεύτερο φωτογραφίες τῶν φύλλων τῶν χειρογράφων.

———

ΔΙΑΤΑΞΙΣ
ΤΗΣ ΘΕΙΑΣ ΛΕΙΤΟΥΡΓΙΑΣ
«ΠΡΟΦΙΛΟΘΕΪΚΗ»

ΕΙΣΑΓΩΓΗ

Ἱστορικό

Ἡ πιὸ ἄμεση προκάτοχη τῆς Διατάξεως τοῦ πατριάρχου Φιλοθέου, χρονολογικὰ καὶ οὐσιαστικά, μπορεῖ νὰ θεωρηθεῖ ἐκείνη, τὴν ὁποία θὰ παραθέσουμε στὴν συνέχεια.

Στὸ Κρατικὸ Ἱστορικὸ Μουσεῖο τῆς Μόσχας, μεταξὺ πολλῶν ἀξιόλογων ἑλληνικῶν χειρογράφων, φυλάσσεται ἕνα σαββαΐτικο Τυπικό, τὸ ὁποῖο εἶναι γνωστὸ ὡς κώδικας τῆς πρώην Συνοδικῆς Βιβλιοθήκης ὑπ' ἀρ. 381 (275). Εἶναι γραμμένο σὲ βομβύκινο ὑλικό. Παρ' ὅλο ποὺ στὸν σημερινὸ κατάλογο χρονολογεῖται ἀπὸ τὸν ιε´ αἰ., τὰ ὀνόματα ποὺ μνημονεύονται στὸ κείμενο καὶ τὰ παλαιογραφικὰ χαρακτηριστικὰ τὸ τοποθετοῦν χρονικὰ τουλάχιστον ἕναν αἰώνα νωρίτερα. Οἱ Ρῶσσοι λειτουργιολόγοι καὶ βυζαντινολόγοι Ivan Mansvetov (1844-1885) καὶ Nikolay Krasnoseltsev (1845-1898) χρονολογοῦσαν τὸ χειρόγραφο ἀπὸ 1289-1310/11, βάσει τῶν ὀνομάτων ποὺ ἀναφέρονται σὲ αὐτό: αὐτοκράτορας Ἀνδρόνικος Β´ Παλαιολόγος (1281-1332), αὐτοκράτειρα Εἰρήνη (1284-1317), πατριάρχης Ἀθανάσιος Α´ (1289-1293 καὶ 1304-1310/11).

Τὸ χειρόγραφο ἀποτελεῖται ἀπὸ 199 γραμμένα φύλλα (γιὰ ἀγνώστους σὲ μᾶς λόγους οἱ παλαιοὶ κατάλογοι ἀπαριθμοῦν μόνο 178). Βρέθηκε δὲ στὴν Συνοδικὴ Βιβλιοθήκη Μόσχας στὰ μέσα τοῦ ιζ´ αἰώνα ἀπὸ τὴν μονὴ Βατοπαιδίου, μαζὶ μὲ τὰ ἄλλα χειρόγραφα, τὰ ὁποία ἐξαγόρασαν οἱ ἀπεσταλμένοι τῶν ρωσσικῶν ἀρχῶν, πολιτικῶν καὶ ἐκκλησιαστικῶν, γιὰ τὶς λειτουργικὲς μελέτες καὶ μεταρρυθμίσεις τοῦ πατριάρχη Μόσχας Νίκωνα (1652-1666).

Ὑπάρχουν ὅμως μερικὰ σημεῖα στὸ χειρόγραφο, ἀπὸ τὰ ὁποῖα φαίνεται ὅτι ἀρχικὰ ἀνῆκε στὴν μονὴ τῆς Μεγίστης Λαύρας: α) Στὸ φύλλο 225v, στὸ μηναῖο ἑορτολόγιο, γιὰ τὶς 5 Ἰουλίου ἐλλείπει ἡ μνήμη τοῦ ἁγίου Ἀθανασίου τοῦ Ἀθωνίτου, ἀλλὰ ἀκριβῶς δίπλα στὸ περιθώριο, μὲ τὸ ἴδιο χέρι εἶναι γραμμένο ἀπολυτίκιο καὶ κοντάκιο τοῦ ὁσίου. β) Στὸ φύλλο 186v μετὰ τὰ κοντάκια τῶν γνωστῶν ἑορτῶν τοῦ Πεντηκοσταρίου παρατίθενται τὸ ἀπολυτίκιο καὶ τὸ κοντάκιο μόνο τοῦ ἁγίου Ἀθανασίου. γ) Στὴν Διάταξη τῆς Λειτουργίας ὡς προσκομίζων τὰ ἅγια δῶρα ἀναφέρεται ἱερομόναχος Ἰωαννίκιος. Ἡγούμενος μὲ αὐτὸ τὸ ὄνομα δὲν ὑπῆρχε στὴν μονή μας τότε, ἐνῶ στὶς ἀρχὲς τοῦ ιδ´ αἰ. ὑπῆρχε ἡγούμενος τῆς Μεγίστης Λαύρας. δ) Στὸ ἴδιο σημεῖο, μετὰ τὸν καθαγιασμό, μνημονεύεται ὄνομα ἐπισκόπου Νίφωνος (sic). Δὲν πρέπει νὰ πρόκειται περὶ τοῦ ἐπισκόπου Ἱερισσοῦ καὶ Ἁγίου Ὄρους, διότι δὲν ταιριάζει χρονολογικὰ μὲ τὸν ἀναφερθέντα αὐτοκράτορα καὶ τὸν πατριάρχη, ἀλλὰ ὅπως ὑπέθεσε ὁ καθηγητὴς Mansvetov, περὶ τοῦ ἐπισκόπου Κυζίκου Νήφωνος, πρώην ἡγουμένου τῆς μονῆς τῆς Μεγίστης Λαύρας καὶ μετέπειτα πατριάρχη Κωνσταντινουπόλεως (1310/11-1314).

Ἡ Διάταξη παρατίθεται στὶς σελίδες 24r-31v. Ἔχει ὁμοιότητες μὲ τὴν Διάταξη τοῦ πατριάρχου Φιλοθέου. Γι' αὐτὸ καὶ ὁ καθ. Mansvetov τὴν θεώρησε ὡς πρώτη ἔκδοση τῆς «λεγομένης διατάξεως τοῦ Φιλοθέου» (ἡ ἔκφραση εἶναι τοῦ ἰδίου). Ὁ καθ. Krasnoseltsev διαφωνοῦσε. Καὶ οἱ δύο ὅμως τῆς ἔδιναν μεγάλη σημασία, παραθέτοντάς την ὁ μὲν περιληπτικὰ καὶ μερικῶς («Церковный устав, его образование и судьба в греческой и русской церкви», Москва 1885, 404-406· καὶ «Митрополит Киприан в его литургической деятельности», Москва 1882, приложение I), ὁ δὲ πλήρως («Материалы для истории чинопоследования литургии святаго Иоанна Златоустаго», Казань 1889, 17-29).

Στὸν Ἑλλαδικὸ χῶρο, γιὰ ὅσους δὲν γνωρίζουν τὰ τρία ἀναφερθέντα βιβλία, ἡ Διάταξη εἶναι ἄγνωστη. Τὸ περιεχόμενό της ὅμως εἶναι ἐν μέρει γνωστὸ ἀπὸ τὸ μνημειῶδες βιβλίο τοῦ μακαριστοῦ καθηγητοῦ Π. Τρεμπέλα «Αἱ τρεῖς λειτουργίαι κατὰ τοὺς ἐν Ἀθήναις κώδικας» (σ. 1-16), ὅπου τὴν παραθέτει ἀπὸ τὸ χειρόγραφο Εὐχολόγιο τῆς Ἐθνικῆς Βιβλιοθήκης τῆς Ἑλλάδος (ΕΒΕ) ὑπ' ἀρ. 662 τοῦ ιβ΄-ιγ΄ αἰώνα. Παρ' ὅλο ποὺ καὶ στὰ δύο χειρόγραφα ἡ Διάταξη εἶναι ἡ ἴδια, εἴπαμε «ἐν μέρει» διότι ὑπάρχουν ἀρκετὲς διαφορές, ἐκ τῶν ὁποίων τὶς πιὸ σημαντικὲς θὰ σημειώσουμε παρακάτω. Αὐτὲς ἐπιβεβαιώνουν ὅτι τὸ μὲν ΕΒΕ662 εἶναι πιὸ ἀρχαῖο, τὸ δὲ *SYN.381* εἶναι πιὸ κοντὰ στὴν Διάταξη τοῦ ἁγίου Φιλοθέου[1].

Λειτουργικό

Θὰ ἐπιστήσουμε τὴν προσοχὴ τῶν ἀναγνωστῶν καὶ σὲ μερικὰ σημεῖα τῆς διατάξεως, τὰ ὁποῖα κατὰ τὴν γνώμη μας τυγχάνουν ἰδιαίτερης σημασίας.

- Ὁ τίτλος φαίνεται ἁπλοϊκός· «Περὶ τοῦ πῶς δεῖ ἐκτελεῖσθαι τὴν θείαν καὶ ἱερὰν λειτουργίαν» ἀντὶ τοῦ «Διάταξις τῆς θείας ἱερουργίας» στὸ ΕΒΕ662.
- Ἡ τάξη τοῦ «Καιροῦ» εἶναι λιτή: ἀποτελεῖται ἀπὸ τρεῖς ὑποκλίσεις («μετάνοιες»), τὴν εὐχὴ καὶ τὸν ἀσπασμὸ τῶν εἰκόνων. Ἡ εὐχή, ἡ ὁποία δὲν ὑπάρχει στὸ ΕΒΕ662, ἐδῶ παρουσιάζεται μὲ τὴν παλαιά της μορφή, τὴν «προφιλοθεϊκή»: α) Ἀντὶ «Κύριε», ἔχουμε «Κύριε, ὁ Θεός μου»· β) Ἀντὶ «χεῖρα», ἔχουμε «βοήθειαν»· γ) Ἡ ἐκφώνηση εἶναι πλήρης· αὐτὴ τοῦ «Πάτερ ἡμῶν».
- Στὴν ἔνδυση ἀπαντᾶται ὁ παλαιὸς στίχος τοῦ δεξιοῦ ἐπιμανικίου: «Δεξιὰ Κυρίου ἐποίησε δύναμιν...», τὸν ὁποῖο θὰ συναντήσουμε καὶ στὶς ἄλλες Διατάξεις. Τὸ δὲ «Εὐλόγησον, δέσποτα, τὸ στιχάριν σὺν τῷ οὐραρίῳ», ποὺ μοιάζει μ' ἐκεῖνο τῆς τοῦ Φιλοθέου καὶ τὸ ὁποῖο δὲν ἀπαντᾶται στὸ ΕΒΕ662, εἶναι γραμμένο στὸ περιθώριο.
- Κατὰ τὴν ἑτοιμασία τοῦ ποτηρίου ἔχουμε τὸ ἀρχαῖο καὶ σπάνιο «Ἕνωσις Πνεύματος ἁγίου. Ἀμήν».

[1] Μποροῦμε νὰ ὑποθέσουμε, ὅτι ὁ μετέπειτα πατριάρχης εἶχε ὑπ' ὄψιν του τὴν Διάταξη, ἐφ' ὅσον ἔμεινε καὶ στὴν Μεγίστη Λαύρα καὶ στὸ Βατοπαίδι, ὅπου φυλασσόταν τὸ Τυπικό.

- Σὲ ἀντίθεση μὲ τὸ ΕΒΕ662, στὴν Πρόθεση ὑπάρχει ἐκτεταμένη μνημόνευση τῶν ἁγίων, ἡ ὁποία ἀρχίζει μὲ τὸ «Δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ· τῶν τιμίων ἐπουρανίων δυνάμεων ἀσωμάτων». Ἡ ἀναφορὰ στὸν Σταυρὸ ἐλλείπει στὸ ΕΒΕ662. Τὸ ἴδιο ἀφορᾶ καὶ τὸν κατάλογο ζώντων καὶ κεκοιμημένων.
- Ὁ στίχος τοῦ ἀστερίσκου εἶναι «Τῷ λόγῳ Κυρίου...», ἐνῶ στὸ κάλυμμα τοῦ ποτηρίου ἀπαντᾶται «αὐτοῦ» ἀντὶ τοῦ «...σου, Χριστέ...» τοῦ Φιλοθέου, καὶ τὸ «συνέσεως» ἀντὶ τοῦ «αἰνέσεως». Τὸ τρίτο πρόσωπο καὶ τὸ «αἰνέσεως» εἶναι τοῦ αὐθεντικοῦ κειμένου (Ἀββ. 3,3), ἐνῶ τὸ «συνέσεως» εἶναι τοῦ Φιλοθέου καὶ παράλληλα ἀπαντᾶται στὰ χειρόγραφα τοῦ ιδ΄ αἰ. (βλ. τὶς ἑπόμενες Διατάξεις) καὶ στὸν ἅγ. Συμεὼν Θεσσαλονίκης («Ὁ διάλογος...», PG 155, 288A).
- Στὸ προκαταρκτικὸ μέρος ὑπάρχει μία ὡραία μικρὴ εὐχή, ἡ ὁποία λεγόταν στὴν θέση τοῦ «Βασιλεῦ οὐράνιε...» ἢ / καὶ τοῦ «Δόξα ἐν ὑψίστοις...», ποὺ λέγεται μέχρι σήμερα.
- Σὲ ἀντίθεση μὲ τὸ ΕΒΕ662, ὅπου χρησιμοποιεῖται μόνο ἡ λέξη «οὐράριον», ἐδῶ ἔχουμε καὶ τὸ «ὡράριον», αὐτὸ ποὺ ἀπαντᾶται στὴν Διάταξη τοῦ Φιλοθέου (ἐκεῖ ὅμως καὶ στὸν ἅγ. Συμεὼν μὲ δασεία). Τὸ μὲν συναντοῦμε 5 φορές, τὸ δὲ 7 φορές.
- Κατὰ τὴν Μικρὰ Εἴσοδο ὁ διάκονος ὄχι μόνο ἀποθέτει, ἀλλὰ καὶ αἴρει μόνος του τὸ ἅγιο Εὐαγγέλιο ἀπὸ τὴν ἁγία τράπεζα. Σημαντικὴ εἶναι καὶ ἡ σημείωση περὶ τῆς μὴ χαράξεως σταυροῦ μὲ τὸ Εὐαγγέλιο στὸ «Σοφίᾳ ὀρθοί». Αὐτὸ μᾶς ὁδηγεῖ στὸ συμπέρασμα, ὅτι ἐκείνη τὴν ἐποχὴ κάποιοι ἄρχισαν νὰ χαράττουν σταυρὸ μὲ τὸ Εὐαγγέλιο κατὰ μίμηση τῆς Ἑσπερινῆς Εἰσόδου. Ἀργότερα ὁ ἅγ. Συμεὼν Θεσσαλονίκης θὰ κάνει τὴν διάκριση (ὅ.π. 605D, 608A).
- Πρὶν τὸν Τρισάγιο Ὕμνο ὁ διάκονος «παίρνει καιρό», ὅπως καὶ σὲ ὅλες σχεδὸν τὶς μεταγενέστερες Διατάξεις. Στὸ ἴδιο σημεῖο ἔχουμε δύο σημαντικὲς διαφορὲς μὲ τὸ ΕΒΕ662: α) Σημείωση περὶ τοῦ ἀσματικοῦ «Δόξα» ἐνσωματώνεται μέσα στὸ κείμενο στὴν ἀντίστοιχη στιγμὴ τῆς Λειτουργίας καὶ ὄχι στὸ τέλος ὡς παράρτημα (τὸ ἴδιο ἀφορᾶ καὶ τὴν ἄλλη ὑποσημείωση περὶ τῆς συμμετοχῆς τοῦ δευτέρου διακόνου). β) Κατὰ τὸ ἀσματικὸ «Δόξα» τὸ δικό μας χειρόγραφο σημειώνει τὸ ἑξῆς σημαντικό: «Τούτου δὲ ψαλλομένου συνέρχονται οἱ ἱερεῖς καὶ οἱ διάκονοι ἐν τῷ συνθρόνῳ, τοῦ διακόνου λέγοντος πρότερον· Κέλευσον, δέσποτα». Καὶ οἱ δύο σημειώσεις, ποὺ ἐλλείπουν σὲ αὐτὸ τὸ σημεῖο στὸ ΕΒΕ662, ἀναφέρονται, ὅπως εὔστοχα παρατηρεῖ ὁ καθ. Mansvetov, στὴν ἀρχαία παράδοση τοῦ συλλειτούργου στὶς μεγάλες ἑορτές. Ἰδιαίτερα ἡ δεύτερη εἶναι σημαντική: πάντοτε, ἀκόμα σὲ μὴ ἀρχιερατικὴ Λειτουργία (συλλείτουργο), οἱ ἱερουργοὶ ἀπέρχονται ὄχι στὴν πρόθεση, ὅπως λανθασμένα ἔχει ἐπικρατήσει, ἀλλὰ στὸ σύνθρονο καὶ παραμένουν ἐκεῖ, μέχρι νὰ ἀναγνωσθοῦν ὅλα τὰ τῆς Καινῆς Διαθήκης.
- Ὁ προεξάρχων εἰρηνεύει ἀπὸ τὴν καθέδρα μόλις τελειώσει τὸ Τρισάγιο. Καὶ αὐτὴ ἡ παράδοση εἶναι ἀρχαιότατη καὶ μὴ ἀμελητέα.

- Κατὰ τὸ Ἀλληλουάριο πάλι βλέπουμε τὸν διάκονο νὰ παίρνει μόνος του τὸ ἅγιο Εὐαγγέλιο, ὅπως καὶ στὴν Διάταξη τοῦ Φιλοθέου.
- Ἕνα ἄλλο κοινὸ σημεῖο ὅλων τῶν παρατιθεμένων Διατάξεων εἶναι ὅτι στὸ Χερουβικὸ θυμιάζει ὁ διάκονος, διότι αὐτὸς κυρίως κατέχει τὸ θυμιατό, ἐνῶ τὸ ἔργο τοῦ ἱερέως εἶναι νὰ εὔχεται.
- Μετὰ τὴν κοινὴ μνημόνευση κατὰ τὴν Μεγάλη Εἴσοδο («Μνησθείη ὑμῶν...»), στὴν Διάταξή μας ἔχουμε τὴν παλαιὰ τάξη τῆς ἀποθέσεως τῶν τιμίων δώρων, γιὰ τὴν ὁποία θὰ γίνει λόγος καὶ στὴν ἑπόμενη Διάταξη.
- Πολὺ ἀρχαία καὶ σήμερα ξεχασμένη λεπτομέρεια, ποὺ κρύβει ὅμως πολλὴ οὐσία, εἶναι ὁ σωστὸς τρόπος τοῦ διαλόγου μετὰ τὴν Μεγάλη Εἴσοδο. Τὸ «Πνεῦμα ἅγιον ἐπελεύσεται...» λέγεται ὄχι στὸν διάκονο, ἀλλὰ στὸν προεξάρχοντα, αὐτὸν ποὺ θὰ προσφέρει τὴν ἀναίμακτη θυσία.
- Τὸ «Ἀγαπήσωμεν ἀλλήλους» ἔχουμε χωρὶς τὴν μεταγενέστερη προσθήκη «...ἵνα ἐν ὁμονοίᾳ ὁμολογήσωμεν», στὸ ὁποῖο ἡ μόνη ἀπόκριση ἦταν ἡ πράξη, δηλαδὴ νὰ κάνουν αὐτὸ ποὺ εἶπε ὁ διάκονος: νὰ ἀσπαστοῦν ὁ ἕνας τὸν ἄλλο.
- Ὡς ἀπάντηση στὸ «Στῶμεν καλῶς» βρίσκουμε μία συντομογραφία, τὴν ὁποία ὁ Krasnoseltsev διαβάζει ὡς «Ἔλαιο[ς] εἰρήνη». Δεύτερο χέρι τὸ διόρθωσε μὲ «ν», ἀλλὰ στὸ περιθώριο γράφει «Ἔλεος». Ἐπειδὴ τὸ θέμα εἶναι περίπλοκο, δὲν θὰ κάνουμε περαιτέρω σχόλια.
- Στὸ ἑξῆς ἔχουμε μερικὲς σημαντικὲς διαφορὲς μὲ τὸ ΕΒΕ662. Σὲ ἀντίθεση μὲ τὸ τελευταῖο, ἀναφέρεται ἡ ἄρση τοῦ ἀστερίσκου. Ἐπίσης ἔχουμε καὶ δύο παρακελεύσεις τοῦ διακόνου κατὰ τὸν καθαγιασμό, οἱ ὁποῖες λείπουν στὸν ἐν Ἀθήναις κώδικα. Καὶ τέλος, στὸ χειρόγραφό μας στὸ «Μεταβαλὼν...» ἔχουμε τὸ «Ἀμὴν» μόνο μία φορὰ κατὰ τὴν ἀρχαιότερη τάξη, ἐνῶ στὸ ΕΒΕ662 παραδόξως τὸ διπλό, ποὺ ἀπαντᾶται κυρίως στὰ χειρόγραφα τοῦ ιδ´ αἰώνα.
- Τὰ πιὸ ἐνδιαφέροντα βρίσκουμε μετὰ τὸν καθαγιασμό: α) Ἡ ἐκφώνηση τοῦ διακόνου πρὶν τὸ «Ἐν πρώτοις...» εἶναι ὄχι σκέτο «Καὶ πάντων καὶ πασῶν» ὅπως στὸ ΕΒΕ662, ἀλλὰ τὸ «Καὶ ὧν ἕκαστος κατὰ διάνοιαν ἔχει, καὶ πάντων καὶ πασῶν». β) Στὸ χειρόγραφό μας αὐτὴ ἡ ἐκφώνηση παρουσιάζεται σὲ ἄμεση σχέση μὲ τὰ δίπτυχα τῶν κεκοιμημένων: «Ὁ διάκονος τὰ δίπτυχα τῶν κεκοιμημένων καθ' ἑαυτὸν πρότερον ἀναγνούς...». γ) Μετὰ τὸ «Ἐν πρώτοις...» δὲν λέγεται ἁπλὰ ὅτι ὁ διάκονος μνημονεύει τὰ δίπτυχα τῶν ζώντων ὅπως στὸ ΕΒΕ662, ἀλλὰ παραθέτει τὸ διακονικὸ κείμενο πλήρως καὶ μὲ συγκεκριμένα ὀνόματα. δ) Ἡ ἀπόκριση στὰ δίπτυχα εἶναι ὄχι τὸ «Κύριε, ἐλέησον», ἀλλὰ τὸ «Καὶ πάντων καὶ πασῶν».
- Ἡ πρόταση «Τοῦτο δὲ καὶ ὁ λαὸς λέγει ἔξω», μὲ τὴν προσθήκη «μετὰ μέλους», ἀπαντᾶται στὰ δύο χειρόγραφά μας μὲ τὴν Διάταξη τοῦ Φιλοθέου ποὺ παρατίθενται στὴν συνέχεια, ἐνῶ δὲν ὑπάρχει οὔτε στὸ ΕΒΕ662, οὔτε στὸ χειρόγραφο 6277-770 τῆς Ἱ. Μονῆς ἁγ. Παντελεήμονος, τὸ ὁποῖο ὅπως νόμιζαν οἱ περισσότεροι λειτουργιολόγοι, περιέχει τὸ ἀρχαιότερο κείμενο τῆς Διατάξεως τοῦ πατριάρχου (βλ. σχετικὰ τὸν πρόλογο τοῦ χειρογράφου 480). Ἐνῶ τὰ ἀντίστοιχα τρία χειρόγραφα τῆς Μονῆς μας τὴν ἔχουν. Τὸ ἴδιο ἀκριβῶς ἀφορᾶ καὶ τὸ «Καὶ ὧν ἕκαστος...» καὶ τὸ πλῆρες κείμενο τῶν διπτύχων.

- Τὸ ἑπόμενο σημαντικὸ σημεῖο εἶναι ἡ παρουσία τοῦ ζέοντος, τὸ ὁποῖο στὸ ΕΒΕ662 ἀπουσιάζει, μάλιστα μὲ διπλὴ εὐλογία: κατὰ τὴν εὐλόγηση καὶ κατὰ τὴν ἔγχυση, ὅπως στὸν Φιλόθεο.
- Δύο λεπτομέρειες, οἱ ὁποῖες μπορεῖ νὰ κρύβουν καὶ κάποιο κλειδί, εἶναι οἱ ἑξῆς: α) Τὸ «Βασιλεῦ οὐράνιε...» λέγεται πρὶν τὴν κοινωνία ὄχι ἀπὸ τὸν ἱερέα ὅπως στὸ ΕΒΕ662, ἀλλὰ ἀπὸ τὸν διάκονο. β) Δὲν ἀναφέρεται κἂν πῶς κοινωνάει ὁ ἱερεύς. Χωρὶς νὰ βγάλουμε ὁποιοδήποτε συμπέρασμα, θὰ ὑπενθυμίσουμε ἐδῶ τὴν γνώμη μερικῶν, ὅτι ὁ ἅγ. Φιλόθεος ἔγραψε τὴν Διάταξή του ὄντας διάκονος.
- Δύο ἄλλες διαφορὲς μὲ τὸ ΕΒΕ662: α) Ὑπάρχει τὸ ἀμφιλεγόμενο «Εὐλογητὸς ὁ Θεὸς ἡμῶν» πρὶν τὸ «Πάντοτε...». β) Στὴν τελευταία συναπτὴ λείπει τὸ ἄρθρο «οἱ [μεταλαβόντες]». Καὶ τὰ δύο θέτουν τὸ χειρόγραφό μας πιὸ κοντὰ στὴν Διάταξη τοῦ Φιλοθέου καὶ χρονολογικὰ ἀργότερα.
- Ἀκολουθεῖ τὸ «Ἐν εἰρήνῃ προέλθωμεν» ὑπὸ τοῦ διακόνου καὶ ὄχι τοῦ προεξάρχοντος ὅπως καὶ στὴν καταλυτικὴ πλειοψηφία τῶν χειρογράφων, καὶ ὅπως ἀπαιτεῖ ἡ λογικὴ τῆς διανομῆς τῶν ρόλων στὶς ἀκολουθίες.
- Καὶ τέλος, ἡ Διάταξή μας τελειώνει μὲ τὴν μοναδικὴ κατακλείδα· [Ὁ ἱερεὺς κάνει τὴν ἀπόλυση παρουσίᾳ τοῦ διακόνου] «...προορῶν τὸν Χριστὸν ἐνώπιον αὐτοῦ ἀνενδοιάστως, αὐτῷ πρέπει ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν».

Ἑτέρα Πρόθεση

Ἐδῶ θὰ τελειώναμε τὴν εἰσαγωγή μας, ἂν τὸ χειρόγραφο στὰ τελευταῖα φύλλα (196r-198v) δὲν εἶχε μία ἄλλη Διάταξη Προθέσεως. Εἶναι γραμμένη μὲ τὸ ἴδιο χέρι καὶ σὲ γενικὲς γραμμὲς μοιάζει μὲ αὐτὴν τοῦ κυρίου κειμένου. Γι' αὐτὸ θὰ ὑπογραμμίσουμε μόνο τὰ πιὸ σημαντικὰ σημεῖα της.

- Ἡ εὐχὴ τοῦ «Καιροῦ» ἀρχίζει μὲ τὸ «Κύριε Ἰησοῦ Χριστέ», ἐνῶ ἀντὶ τῆς συνήθους «ἱερουργίαν» ἔχουμε τὴν λέξη «θυσίαν».
- Λείπει ἡ εὐλογία τῆς ἑνώσεως τοῦ ποτηρίου.
- Μνημονεύονται πολλοὶ ἅγιοι, συμπεριλαμβανομένων ὅλων ἐκείνων, τοὺς ὁποίους μνημονεύει καὶ ἡ Διάταξη τοῦ Φιλοθέου.
- Στὸν παλαιὸ στίχο τοῦ ἀστερίσκου προστίθεται καὶ ὁ τοῦ Φιλοθέου «Καὶ ἐλθὼν ὁ ἀστήρ...».

Μέθοδος ἐκδόσεως

Πρὸς διευκόλυνση τῆς ἀναγνώσεως, τὶς καθ' ἑαυτὲς διατάξεις, δηλαδὴ τὸ ἐξηγηματικὸ μέρος παραθέτουμε μὲ κόκκινα γράμματα, ὅλα δὲ τὰ λεκτέα μὲ μαῦρα. Στὰ χειρόγραφα εἶναι διαφορετικά: τὸ κόκκινο χρῶμα χρησιμοποιεῖται κυρίως γιὰ τὰ πρῶτα γράμματα σὲ κάποιες προτάσεις.

Δὲν ἀκολουθοῦμε ἐπίσης τὸ σύστημα σημείων στίξεως τῶν χειρογράφων, ἀλλὰ ἐφαρμόζουμε τὸ σύγχρονο. Ἐδῶ πρέπει νὰ ἀναφερθεῖ καὶ τὸ ἑξῆς: Τὰ λειτουργικὰ κείμενα δὲν ταυτίζονται μὲ ἄλλων εἰδῶν κείμενα. Γι' αὐτὸ καὶ τὰ σημεῖα στίξεως τίθενται ἐνίοτε διαφορετικά, μὲ σκοπὸ νὰ ἀποδοθεῖ καλύτερα τὸ νόημα.

Ὅπου κάποια εὐχὴ ἢ ἐκφώνηση εἶναι στὰ χειρόγραφα μισογραμμένη, βάζουμε ἀποσιωπητικά.

Διορθώσαμε τὰ μηχανικὰ ὀρθογραφικὰ σφάλματα σημειώνοντας τὶς ἀντίστοιχες λέξεις μὲ ἀστερίσκο (*).

Τὰ παροράματα τοῦ γραφέα ἢ τὰ ἀπαλειφθέντα γράμματα συμπληρώνουμε βάζοντας τὸ ἐλλεῖπον σὲ ἀγκύλες [ ].

Δύο κάθετες μπάρες // ὑποδηλοῦν ἀλλαγὴ σελίδας.

Τὰ ἀνωτέρω ἐφαρμόζονται καὶ στὶς λοιπὲς διατάξεις, ἐκτὸς ἀπὸ τὶς ἀγκύλες καὶ παρενθέσεις στὴν Διάταξη τοῦ Φιλοθέου.

ΚΕΙΜΕΝΟ

Περὶ τοῦ πῶς δεῖ ἐκτελεῖσθαι τὴν θείαν καὶ ἱερὰν λειτουργίαν φ. 24r

Ἐν τῷ μέλλειν ἐκτελεῖσθαι τὴν θείαν ἱερουργίαν, ἀπέρχεται ὁ ἱερεὺς καὶ ὁ διάκονος ἔμπροσθεν τῶν ἁγίων θυρῶν καὶ ποιοῦσι μετανοίας γ΄ λέγοντες τὴν εὐχὴν ταύτην·

Κύριε, ὁ Θεός μου, ἐξαπόστειλόν μοι βοήθειαν ἐξ ἁγίου κατοικητηρίου σου καὶ ἐνίσχυσόν με εἰς τὴν προκειμένην διακονίαν σου, ἵνα ἀκατακρίτως παρασταθῶ τῷ φοβερῷ καὶ φρικτῷ βήματί σου, τὴν ἀναίμακτον ἱερουργίαν ἐπιτελέσαι· ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν...

Ἀσπαζόμενοι τὰς ἁγίας εἰκόνας [ποιοῦσι] καὶ εἰς τοὺς χοροὺς πρὸς μίαν μετάνοιαν. Εἶτα εἰσέρχονται εἰς τὸ ἅγιον βῆμα καὶ λαμβάνει ὁ μὲν ἱερεὺς τὸ στιχάριον ἐν τῇ ἀριστερᾷ χειρὶ καὶ προσκυνεῖ τρίτον κατὰ ἀνατολὰς καὶ σφραγίζει αὐτὸ λέγων· Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε... Καὶ ἐνδυόμενος αὐτὸ λέγει· Ἀγαλλιάσθω ἡ ψυχή μου ἐπὶ τῷ Κυρίῳ, ἐνέδυσε γάρ με ἱμάτιον σωτηρίου καὶ χιτῶνα εὐφροσύνης περιέθηκέ μοι καὶ ὡς νύμφην κατεκόσμησέ με κόσμῳ καὶ ὡς νυμφίῳ περιέθηκέ μοι μίτραν.

Εἶτα λαβὼν τὸ ἐπιτραχήλιον λέγει· Εὐλογητὸς ὁ Θεὸς ὁ ἐκχέων τὴν χάριν αὐτοῦ // ἐπὶ τοὺς ἱερεῖς αὐτοῦ φ. 24v ὡς μῦρον ἐπὶ κεφαλῆς, τὸ καταβαῖνον ἐπὶ πώγωνα τὸν Ἀαρών*, τὸ καταβαῖνον ἐπὶ τὴν ᾤαν τοῦ ἐνδύματος αὐτοῦ.

Εἶτα λαβὼν τὴν ζώνην λέγει· Εὐλογητὸς ὁ Θεὸς ὁ περιζωννύων με δύναμιν καὶ ἔθετο ἄμωμον τὴν ὁδόν μου.

Καὶ μετὰ ταῦτα φορεῖ τὸ δεξιὸν ἐπιμάνικον λέγων· Δεξιὰ Κυρίου ἐποίησε δύναμιν, δεξιὰ Κυρίου ὕψωσέ με.

Καὶ εἰς τὸ ἀριστερὸν λέγει· Αἱ χεῖρές σου ἐποίησάν με καὶ ἔπλασάν με.

Εἶτα λαβὼν τὸ φελώνιον καὶ σφραγίζων αὐτό, λέγει ἐνδυόμενος· Οἱ ἱερεῖς σου, Κύριε, ἐνδύσονται δικαιοσύνην καὶ οἱ ὅσιοί σου ἀγαλλιάσει ἀγαλλιάσονται.

Ὁ δὲ διάκονος λαβὼν καὶ αὐτὸς τό τε ὠράριον καὶ τὸ στιχάριον ἐν τῇ λαιᾷ χειρί, ποιεῖ τῷ ἱερεῖ μετάνοιαν

λέγων· Εὐλόγησον, δέσποτα[1], τὸν* ἐνδυόμενον.

Καὶ ὁ ἱερεὺς σφραγίζει τοῦτο καὶ λέγει· Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε, νῦν καὶ ἀεὶ καὶ...

Εἶτα ἀπέρχονται ὁμοῦ ἐν τῇ ἁγίᾳ προθέσει.

Καὶ ἐπαίρει ὁ μὲν ἱερεὺς τὴν προσφορὰν καὶ λέγει ἱστάμενος κατὰ ἀνατολάς· Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε, νῦν..., ἣν καὶ σφραγίζει τρίτον μετὰ τῆς λόγχης καὶ λέγει· Εἰς ἀνάμνησιν τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. Καὶ ποιεῖ τὴν προσκομιδὴν οὕτως· Εἰς τὸ ἓν μέρος λέγει· φ. 25r // Ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη καὶ ὡς ἀμνὸς ἄκακος ἐναντίον τοῦ κείροντος αὐτὸν ἄφωνος. Εἰς δὲ τὸ ἕτερον λέγει· Οὕτως* οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ. Καὶ εἰς τὸ τρίτον· Ἐν τῇ ταπεινώσει αὐτοῦ ἡ κρίσις αὐτοῦ ἤρθη. Καὶ εἰς τὸ τέταρτον· Τὴν δὲ γενεὰν αὐτοῦ τίς διηγήσεται; Καὶ πήξας τὴν λόγχην ἐκ πλαγίου, αἴρει τὸν ἄρτον καὶ λέγει· Ὅτι αἴρεται ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ. Εἶτα τίθησιν αὐτὸν ὕπτιον ἐν τῷ δίσκῳ, καὶ τοῦ διακόνου λέγοντος· Θῦσον*, δέσποτα, ὁ ἱερεὺς χαράττων σταυρὸν μετὰ τῆς λόγχης λέγει· Θύεται ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου ὑπὲρ τῆς τοῦ κόσμου σωτηρίας. Καὶ μετὰ ταῦτα, ἐκχέει τὸ νᾶμα καὶ τὸ ὕδωρ εἰς τὸ ἅγιον ποτήριον λέγων· Εἷς τῶν στρατιωτῶν λόγχῃ τὴν πλευρὰν αὐτοῦ ἔνυξε καὶ εὐθέως ἐξῆλθεν αἷμα καὶ ὕδωρ καὶ ὁ ἑωρακὼς μεμαρτύρηκε καὶ ἀληθινή ἐστιν* ἡ μαρτυρία αὐτοῦ. Ἕνωσις Πνεύματος ἁγίου. Ἀμήν.

Καὶ μετὰ τοῦτο λαμβάνει τὴν ἑτέραν προσφορὰν καὶ λέγει· Πρόσδεξαι, Κύριε, τὴν θυσίαν ταύτην διὰ πρεσβειῶν τῆς ὑπερευλογημένης δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας.

Εἶτα λαμβάνει τὴν τρίτην προσφορὰν καὶ λέγει· Δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ. Τῶν τιμίων φ. 25v // ἐπουρανίων δυνάμεων ἀσωμάτων. Τοῦ τιμίου, ἐνδόξου προφήτου, προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου. Τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων ἀποστόλων. Τῶν ἁγίων προπατόρων, πατέρων, πατριαρχῶν, προφητῶν, ἀποστόλων, κηρύκων*, εὐαγγελιστῶν, μαρτύρων, ὁμολογητῶν, διδασκάλων καὶ παντὸς πνεύματος δικαίου ἐν πίστει τετελειωμένου. Τοῦ ἁγίου ἤγουν τῆς ἡμέρας οὗ

[1] Στὸ περιθώριο· Τὸ στιχάριν σὺν τῷ* ὠραρίῳ.

καὶ τὴν μνήμην ἐπιτελοῦμεν καὶ πάντων σου τῶν ἁγίων, ὧν ταῖς ἱκεσίαις ἐπίσκεψαι ἡμᾶς, ὁ Θεός.

Καὶ εἰς τὴν δ' προσφορὰν λέγει· Καὶ μνήσθητι, Κύριε, τοῦ ἀρχιεπισκόπου ἡμῶν τοῦ δεῖνος[2], τοῦ πατρὸς ἡμῶν τοῦ δεῖνος, ἤγουν τοῦ ἡγουμένου καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος. Μνήσθητι, Κύριε, τοῦ τιμίου πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας καὶ παντὸς ἱερατικοῦ τάγματος. Μνήσθητι, Κύριε, τῶν καρποφορούντων καὶ καλλιεργούντων ἐν ταῖς ἁγίαις σου ἐκκλησίαις καὶ μεμνημένων τῶν πενήτων. Μνήσθητι, Κύριε, τῶν εὐσεβεστάτων καὶ πιστοτάτων βασιλέων ἡμῶν, παντὸς τοῦ παλατίου καὶ τοῦ στρατοπέδου αὐτῶν. Μνήσθητι, Κύριε, τῆς ἁγίας μονῆς ταύτης, ἐν ᾗ παροικοῦμεν καὶ πάσης πόλεως καὶ χώρας καὶ τῶν πίστει οἰκούντων ἐν αὐταῖς. Μνήσθητι, Κύριε, πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων καὶ τῆς σωτηρίας αὐτῶν. // Μνήσθητι, Κύριε, τῶν ἐπ' ἐλπίδι ἀναστάσεως ζωῆς αἰωνίου κεκοιμημένων πατέρων καὶ ἀδελφῶν ἡμῶν καὶ ἀνάπαυσον αὐτοὺς ἔνθα ἐπισκοπεῖ τὸ φῶς τοῦ προσώπου σου. Μνήσθητι, Κύριε, κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου καὶ τῆς ἐμῆς ἀναξιότητος καὶ συγχώρησόν μοι πᾶν πλημμέλημα ἑκούσιόν τε καὶ ἀκούσιον. φ. 26r

Ὁ δὲ διάκονος λαβὼν τὸν θυμιατὸν καὶ θυμίαμα, ἔρχεται εἰς τὸν ἱερέα καὶ λέγει· Εὐλόγησον, δέσποτα, τὸ θυμίαμα. Καὶ ὁ ἱερεὺς σφραγίζει αὐτὸ λέγων· Θυμίαμα...[3] Καὶ μετὰ τὴν εὐχὴν καπνίζει ὁ ἱερεὺς τὸν ἀστερίσκον τοῦ διακόνου λέγοντος· Τοῦ Κυρίου δεηθῶμεν. Καὶ τίθησιν αὐτὸν ἐπάνω τῶν ἁγίων δώρων καὶ λέγει· Τῷ λόγῳ Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν καὶ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐτῶν. Καὶ πάλιν καπνίζει ὁ ἱερεὺς τὸ κάλυμμα, κἀκεῖ λέγοντος τοῦ διακόνου· Τοῦ Κυρίου δεηθῶμεν· ὃ καὶ τίθησιν ἐπάνω τοῦ ἀστερίσκου λέγων· Ὁ Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο. Ἐνεδύσατο Κύριος δύναμιν... ἕως τέλους. Ὁμοίως καπνίζει καὶ τὸ ἕτερον κάλυμμα λέγοντος τοῦ διακόνου· Τοῦ Κυρίου δεηθῶμεν· καὶ τίθησιν αὐτὸ εἰς τὸ ἅγιον ποτήριον λέγων· // Ἐκάλυψεν οὐρανοὺς ἡ ἀρετὴ αὐτοῦ καὶ τῆς συνέσεως αὐτοῦ πλήρης ἡ γῆ. Ὁμοίως καπνίζει καὶ τὸν ἀέρα, καὶ φ. 26v

[2] Στὸ περιθώριο· Ἐνταῦθα μνημονεύονται οἱ βασιλεῖς κατ' ὄνομα*. Εἶτα μνημονεύει ὅσους θέλει ζῶντάς τε* καὶ τεθνεῶτας.

[3] Δύο κενὲς γραμμές, μᾶλλον γιὰ τὴν εὐχή.

λέγοντος τοῦ διακόνου· Τοῦ Κυρίου δεηθῶμεν, τίθησιν ἐπάνω τοῦ τε δίσκου καὶ τοῦ ποτηρίου λέγων· Σκέπασον ἡμᾶς ἐν τῇ σκέπῃ τῶν πτερύγων σου, πάντοτε νῦν... Εἶτα πάλιν λέγοντος τοῦ διακόνου· Ἐπὶ τῇ προθέσει τῶν τιμίων δώρων, τοῦ Κυρίου δεηθῶμεν, λέγει ὁ ἱερεὺς τὴν εὐχὴν τῆς προθέσεως καὶ ποιεῖ ἀπόλυσιν.

Ὁ δὲ διάκονος ψάλλων τὸν ν΄, θυμιᾷ σταυροειδῶς τὴν ἁγίαν τράπεζαν καὶ τὸ ἱερατεῖον ὅλον· ὡσαύτως καὶ τὸν ναὸν ἅπαντα, ἀρχόμενος ἀπὸ τοῦ βορείου μέρους αὐτοῦ. Καὶ μετὰ τὸ θυμιάσαι τὸν διάκονον, ἵσταται ὁ ἱερεὺς καὶ ὁ διάκονος κατὰ ἀνατολὰς ἐνώπιον τῆς ἁγίας τραπέζης καὶ ποιοῦσι τρεῖς μετανοίας λέγοντος εἰς ἑαυτὸν τοῦ ἱερέως· Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν, δὸς ἡμῖν προθυμίαν καὶ ἰσχὺν ἐκτελέσαι μετὰ φόβου καὶ προσοχῆς τὴν θείαν ἱερουργίαν. Καὶ μετὰ τοῦτο ἀσπάζονται ὁ μὲν ἱερεὺς τὸ ἅγιον εὐαγγέλιον, ὁ δὲ διάκονος τὸ δεξιὸν πτερύγιον τῆς ἁγίας τραπέζης. Εἶτα προσκυνεῖ ὁ διάκονος τὸν ἱερέα, κρατῶν τὸ ὠράριον ἐν τῇ δεξιᾷ χειρὶ καὶ λέγων· Καιρὸς τοῦ ποιῆσαι τῷ Κυρίῳ· δέσποτα, εὐλόγησον. Καὶ ὁ ἱερεὺς πρὸς αὐτόν· Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε... Καὶ πάλιν ὁ διάκονος // φ. 27r πρὸς τὸν ἱερέα· Εὖξαι ὑπὲρ ἐμοῦ, δέσποτα. Κἀκεῖνος πρὸς τὸν διάκονον· Κατευθύναι Κύριος τὰ διαβήματά σου. Καὶ πάλιν πρὸς αὐτὸν ὁ διάκονος· Μνήσθητί μου, δέσποτα. Καὶ ὁ ἱερεὺς πρὸς αὐτόν· Μνησθείη σου Κύριος ἐν τῇ βασιλείᾳ αὐτοῦ. Καὶ ἐξέρχεται ὁ διάκονος ἀπὸ τοῦ νοτίου μέρους καὶ ἱστάμενος ἔμπροσθεν τῶν ἁγίων θυρῶν προσκυνεῖ κατὰ ἀνατολὰς καὶ λέγει· Εὐλόγησον, δέσποτα.

Καὶ ὁ ἱερεὺς ἐκφωνεῖ· Εὐλογημένη ἡ βασιλεία τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ... Καὶ ἄρχεται ὁ διάκονος τῆς συναπτῆς. Καὶ καθεξῆς ἐνεργοῦσιν οἱ ἀμφότεροι τὴν θείαν λειτουργίαν μέχρι τῆς πρώτης εἰσόδου.

Εἰς γὰρ ταύτην τὴν εἴσοδον ἀπέρχεται ὁ διάκονος καὶ αἴρει τὸ εὐαγγέλιον καὶ προπορεύεται ἔμπροσθεν τοῦ ἱερέως. Καὶ ἐλθόντων ἐν τῷ μεσονάῳ, ἵσταται ὁ διάκονος δεξιόθεν λέγων· Τοῦ Κυρίου δεηθῶμεν. Καὶ ὁ ἱερεὺς τὴν εὐχὴν τῆς εἰσόδου. Καὶ μετὰ τὴν εὐχήν, κρατῶν ὁ διάκονος τὸ ὠράριον ἐν τῇ δεξιᾷ χειρί, λέγει· Εὐλόγησον, δέσποτα, τὴν ἁγίαν εἴσοδον. Καὶ ὁ ἱερεὺς

σφραγίζει[4] [αὐτὴν] λέγων· Εὐλογημένη ἡ εἴσοδος τῶν ἁγίων σου, Κύριε, πάντοτε νῦν καὶ... Καὶ προσάγοντος τοῦ διακόνου τὸ εὐαγγέλιον, ἀσπάζεται τοῦτο ὁ ἱερεύς. Καὶ μετὰ τὴν ἀπόλυσιν τοῦ τροπαρίου, ἵσταται ὁ διάκονος ἔμπροσθεν τῶν ἁγίων θυρῶν καὶ αἴρει εἰς ὕψος τὸ ἅγιον εὐαγγέλιον καὶ ἐκφωνεῖ· Σοφία ὀρθοί, // φ. 27v οὐ μέντοι τυπῶν καὶ σταυροειδῶς. Καὶ ὁ λαὸς τό· Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν... Καὶ εἰσέρχονται ἀμφότεροι εἰς τὸ ἅγιον βῆμα. Καὶ ψαλλομένου τοῦ κοντακίου αἴρει ὁ διάκονος τὸ ὠράριον ἐν τῇ δεξιᾷ χειρὶ καὶ λέγει τῷ ἱερεῖ προσκυνῶν· Εὐλόγησον, δέσποτα, τὸν τρισάγιον ὕμνον. Καὶ ὁ ἱερεύς· Ὅτι ἅγιος εἶ, ὁ Θεὸς ἡμῶν... Καὶ μετὰ τὸ τέλος τοῦ κοντακίου, δεικνύει ὁ διάκονος τῷ λαῷ τὸ ὠράριον καὶ εὐθέως ἄρχεται ὁ λαὸς τοῦ γ΄-αγίου ὕμνου. Καὶ ὁ ἱερεὺς λέγει ἔσωθεν τὴν εὐχήν. Καὶ μετ᾽ αὐτὴν προσκυνοῦσιν οἱ δύο κατὰ ἀνατολὰς γ΄ λέγοντες τὸ γ΄-άγιον ἡσύχως ἅπαξ. Ἰστέον δὲ καὶ τοῦτο· ὅτι ἐν ταῖς ἑορταῖς, ψαλλομένου τοῦ γ΄-αγίου ὕμνου μετὰ τοῦ ᾄσματος, ὅτε μέλλουσιν οἱ ψάλται εἰπεῖν τὸ Δόξα, ἔρχεται ὁ διάκονος εἰς τὸν ἱερέα, κρατῶν τὸ ὠράριον ἐν τῇ δεξιᾷ χειρὶ καὶ λέγει· Εὐλόγησον, δέσποτα, τὸ δόξα. Καὶ ὁ ἱερεύς· Εὐλογητὸς ὁ Θεὸς ὁ ἐν Τριάδι ἁγίᾳ δοξαζόμενος... Καὶ στραφεὶς ὁ διάκονος, δεικνύει τῷ λαῷ τὸ ὠράριον καὶ οὕτως ἄρχεται ὁ δομέστικος τοῦ Δόξα. Τούτου δὲ ψαλλομένου συνέρχονται οἱ ἱερεῖς καὶ οἱ διάκονοι ἐν τῷ συνθρόνῳ, τοῦ διακόνου λέγοντος πρότερον· Κέλευσον, δέσποτα. Καὶ ὁ ἱερεύς· Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου. Καὶ μετὰ τοῦτο ἀπέρχονται εἰς τὴν ἁγίαν καθέδραν. Καὶ δεικνύει ὁ // φ. 28r διάκονος αὐτὴν μετα τοῦ ὠραρίου λέγων· Εὐλόγησον, δέσποτα, τὴν ἁγίαν καθέδραν. Καὶ ὁ ἱερεύς· Εὐλογημένος εἶ ὁ καθήμενος ἐπὶ θρόνου δόξης τῆς βασιλείας σου ὁ ὑπερύμνητος καὶ ὑπερένδοξος...

Καὶ πληροῦντος ἔξωθεν τοῦ λαοῦ τὸν γ΄-άγιον ὕμνον, λέγει ὁ διάκονος τό· Πρόσχωμεν. Καὶ ὁ ἱερεύς· Εἰρήνη πᾶσιν. Καὶ αὖθις ὁ διάκονος· Σοφία. Καὶ ὁ ἀναγνώστης ἔξωθεν τὸ προκείμενον καὶ τὸν ἀπόστολον. Λεγομένου δὲ τοῦ ἀποστόλου αἴρει ὁ διάκονος τὸν θυμιατὸν μετὰ θυμιάματος, καὶ ἔρχεται εἰς τὸν ἱερέα

[4] Στὸ περιθώριο· Κατὰ ἀνατολάς.

καὶ εὐλογεῖ τοῦτον, λέγων καὶ τὴν εὐχὴν τοῦ θυμιάματος. Εἶτα θυμιᾷ ὁ διάκονος σταυροειδῶς τὴν ἁγίαν τράπεζαν καὶ τὸ ἱερατεῖον ὅλον καὶ τὸν ἱερέα. Καὶ μετὰ τὸ θυμιάσαι, προσκυνεῖ τρὶς* ἐν τῇ ἁγίᾳ τραπέζῃ* καὶ ἐπαίρει τὸ εὐαγγέλιον ἐν τῇ λαιᾷ χειρὶ καὶ ἐν τῇ δεξιᾷ κρατεῖ τὸ ὠράριον, καὶ ἀπέρχεται ἔμπροσθεν τοῦ ἱερέως καὶ λέγει· Εὐλόγησον, δέσποτα, τὸν εὐαγγελιστὴν τοῦ ἁγίου ἐνδόξου καὶ πανευφήμου ἀποστόλου καὶ εὐαγγελιστοῦ τοῦδε. Καὶ ὁ ἱερεὺς σφραγίζει αὐτὸν λέγων· Ὁ Θεὸς διὰ πρεσβειῶν τοῦ ἁγίου ἐνδόξου καὶ πανευφήμου ἀποστόλου καὶ εὐαγγελιστοῦ τοῦδε, δῴη σοι ῥῆμα τῷ εὐαγγελιζομένῳ δυνάμει πολλῇ τῇ αὐτοῦ χάριτι, πάντοτε νῦν καὶ ἀεὶ...[5] Καὶ οὕτως ἐξέρχεται ὁ διάκονος μετὰ τοῦ εὐαγγελίου καὶ ἵσταται ἐν τῷ μεσονάῳ ἢ ἐν τῷ ἄμβωνι. Καὶ πληρουμένου // τοῦ ἀλληλούϊα, ἐκφωνεῖ ὁ ἱερεὺς ἐκ τοῦ βήματος τό· Σοφία· ὀρθοί, ἀκούσωμεν... Καὶ ὁ διάκονος πάλιν· Ἐκ τοῦ κατὰ τόνδε ἅγιον εὐαγγελιστὴν τὸ ἀνάγνωσμα. Καὶ ὁ ἱερεὺς αὖθις τό· Πρόσχωμεν. Καὶ μετὰ τὸ ἀναγνωσθῆναι* τὸ εὐαγγέλιον, λέγει ὁ ἱερεὺς τῷ διακόνῳ· Εἰρήνη σοι. Καὶ ὁ διάκονος τό· Εἴπωμεν πάντες καὶ ἑξῆς* τὴν ἐκτενὴν καὶ τὰς λοιπὰς αἰτήσεις ἕως τῆς μεγάλης εἰσόδου. Χρὴ εἰδέναι, ὅτι [εἴ] εἰσι* διάκονοι δύο, ἀμοιβαδὸν* λέγουσι τὰς συναπτάς. Καὶ εἰς τὸ εὐαγγέλιον, ὁ μὲν ἔσω τό· Σοφία· ὀρθοί..., ὁ δὲ ἔξω τὸ τοῦ εὐαγγελιστοῦ· εἶτα ὁ ἔσω τό· Πρόσχωμεν. Καὶ μετὰ τὴν συμπλήρωσιν τοῦ εὐαγγελίου, ὁ μὲν ἔξω εἰσέρχεται, ὁ δὲ ἔσω ἐξέρχεται καὶ λέγει τό· Εἴπωμεν πάντες. Ὅτε δὲ λέγει ὁ ἔξω τό· Ὅσοι κατηχούμενοι, λέγει ὁ ἔσω τό· Οἱ κατηχούμενοι, προέλθετε.

Ἐν δὲ τῇ μεγάλῃ εἰσόδῳ, αἴρει ὁ διάκονος τὸν θυμιατόν, καὶ εὐλογοῦντος αὐτὸν τοῦ ἱερέως, θυμιᾷ ἔμπροσθεν τῆς ἁγίας τραπέζης καὶ μόνον. Καὶ ἀπέρχονται ἄμφω εἰς τὴν ἁγίαν πρόθεσιν καὶ θυμιᾷ τὰ ἅγια σταυροειδῶς λέγων· Ἔπαρον, δέσποτα. Καὶ ὁ ἱερεύς· Ἐπάρατε τὰς χεῖρας ὑμῶν εἰς τὰ ἅγια καὶ εὐλογεῖτε τὸν Κύριον. Καὶ μετὰ τὸ εἰπεῖν τοῦτο, αἴρει τὸν ἀέρα καὶ τίθησιν αὐτὸν ἐπάνω τοῦ ὤμου τοῦ διακόνου. Καὶ λαβὼν ὁ ἱερεὺς ἀνὰ χεῖρας τὸ ἅγιον ποτήριον[6], ἕπεται τῷ διακόνῳ. Καὶ εἰσοδεύουσι λέγοντες

[5] Στὸ περιθώριο· Μετὰ τὴν σφραγίδα αἴρει τὸ ἅγιον εὐαγγέλιον.

φ. 28v

[6] Στὸ περιθώριο· Τὸν δὲ δίσκον ἐπιτίθησι τῇ τοῦ διακόνου κεφαλῇ.

πρὸς τὸν λαὸν καὶ οἱ δύο· // Μνησθείη ὑμῶν Κύριος ὁ Θεὸς ἐν τῇ βασιλείᾳ αὐτοῦ. Καὶ εἰσέρχεται πρῶτον ὁ διάκονος ἐν τῇ ἁγίᾳ τραπέζῃ[7]. Εἶτα στραφείς, θυμιᾷ τὸν ἱερέα λέγων· Μνήσθητι καὶ ἐμοῦ, δέσποτα, τοῦ ἁμαρτωλοῦ. Καὶ ὁ ἱερεύς· Μνησθείη σου Κύριος ὁ Θεὸς ἐν τῇ βασιλείᾳ αὐτοῦ. Καὶ οὕτως εἰσέρχεται καὶ τίθησι τὸ ἅγιον ποτήριον. Καὶ αἴρει τὰ καλύμματα ἀπὸ τῶν ἁγίων δώρων καὶ καπνίζει τὸν ἀέρα καὶ τίθησιν ἐπάνω αὐτῶν καὶ θυμιᾷ καὶ αὐτά. Καὶ χαλάσας τὸ φελώνιον, προσκυνεῖ ἐνώπιον τῆς ἁγίας τραπέζης λέγων πρὸς τὸν διάκονον· Μνήσθητί μου, δέσποτα. Καὶ ὁ διάκονος πρὸς αὐτόν· Πνεῦμα ἅγιον ἐπελεύσοιτο ἐπὶ σὲ καὶ δύναμις τοῦ ὑψίστου ἐπισκιάσαι σε. Εἶτα λέγει πάλιν ὁ διάκονος τῷ ἱερεῖ· Μνήσθητί μου, δέσποτα. Ὁ δέ· Μνησθείη σου Κύριος ὁ Θεὸς ἐν τῇ βασιλείᾳ αὐτοῦ. Καὶ ἐξέρχεται καὶ ἵσταται ἐν τῷ μέσῳ τοῦ ναοῦ καὶ λέγει τό· Πληρώσωμεν τὴν δέησιν ἡμῶν... Καὶ μετὰ τὸ πληρωθῆναι τὴν συναπτήν, ἐκφωνεῖ ὁ ἱερεὺς τό· Διὰ τῶν οἰκτιρμῶν τοῦ μονογενοῦς σου Υἱοῦ... Εἶτα τό· Εἰρήνη πᾶσιν. Καὶ ὁ διάκονος τό· Ἀγαπήσωμεν ἀλλήλους. Καὶ μετὰ τὸ γενέσθαι τὸν ἀσπασμόν, πάλιν ὁ διάκονος· Τὰς θύρας, τὰς θύρας· ἐν σοφίᾳ πρόσχωμεν. Καὶ ὁ λαὸς τό· Πιστεύω εἰς ἕνα Θεόν... Καὶ μετὰ τοῦτο πάλιν ὁ διάκονος· Στῶμεν καλῶς, στῶμεν μετὰ φόβου... Καὶ ὁ λαός· Ἔλαιο- εἰρή-[8]. Καὶ ὁ ἱερεὺς ἐκφωνεῖ· Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ... Καὶ οὕτως ἐκφωνοῦντος τοῦ ἱερέως καὶ τὰς λοιπὰς ἐκφωνήσεις, // ὁ διάκονος εἰσέρχεται ἐν τῷ ἁγίῳ βήματι καὶ ἀσπασάμενος τὸ ἄκρον τῆς ἁγίας τραπέζης, προσκυνεῖ τρίς*. Εἶτα στρέφεται πρὸς τὸν ἱερέα καὶ ποιεῖ καὶ αὐτῷ μετάνοιαν. Ὅτε δὲ ἐκφωνεῖ· Τὸν ἐπινίκιον ὕμνον..., αἴρει τὸν ἀστερίσκον ὁ διάκονος. Εἶτα λαβὼν τὸ ἅγιον ῥιπίδιον, ἵσταται δεξιόθεν τοῦ ἱερέως καὶ ῥιπίζει τὰ ἅγια δῶρα. Ὅτε δὲ ἐκφωνεῖ ὁ ἱερεὺς τό· Λάβετε, φάγετε..., λαβὼν ἐν τῇ δεξιᾷ χειρὶ τὸ ὀράριον ὁ διάκονος, ἵσταται ἐκ τοῦ ἀνατολικοῦ μέρους τῆς ἁγίας τραπέζης, ἀπαιωρῶν τοῦτο ἔμπροσθεν τῶν ἁγίων δώρων. Ὁμοίως καὶ εἰς τὸ ἅγιον ποτήριον, ὅτε λέγει ὁ ἱερεὺς τό· Πίετε ἐξ αὐτοῦ πάντες... Ὅτε δὲ σφραγίζει ὁ ἱερεὺς τὰ ἅγια, λέγει ὁ διάκονος πρὸς αὐτόν· Εὐλόγησον, δέσποτα, τὰ

φ. 29r

[7] Μᾶλλον πρέπει νὰ εἶναι· ἐν τῷ ἁγίῳ βήματι.

[8] Ὁ Krasnoseltsev διάβασε· Ἔλαιος εἰρήνη. Στὸ περιθώριο· Ἔλεος.

φ. 29v

ἅγια δῶρα. Ὁ δὲ ἱερεὺς σφραγίζων τὰ ἅγια δῶρα λέγων[9]· Καὶ ποίησον τὸν μὲν ἄρτον τοῦτον τίμιον σῶμα τοῦ Χριστοῦ σου. Ὁ διάκονος· Ἀμήν. Ὁ ἱερεύς· Τὸ δὲ ἐν τῷ ποτηρίῳ τούτῳ τίμιον αἷμα τοῦ Χριστοῦ σου. Ὁ διάκονος· Ἀμήν. Εἶτα πάλιν λέγει ὁ διάκονος πρὸς τὸν ἱερέα· Εὐλόγησον, δέσποτα. Ὁ ἱερεύς· Μεταβαλὼν τῷ Πνεύματί σου τῷ ἁγίῳ. Λέγει ὁ διάκονος τό· Ἀμήν, καὶ τό· Μνήσθητί μου, δέσποτα. Καὶ ὁ ἱερεὺς πρὸς αὐτόν· Μνησθείη σου Κύριος ὁ Θεὸς ἐν τῇ βασιλείᾳ αὐτοῦ. Καὶ ὁ ἱερεὺς ὅταν ἐκφωνεῖ τό· Ἐξαιρέτως τῆς παναγίας..., ὁ διάκονος, τὰ δίπτυχα τῶν κεκοιμημένων καθ᾽ ἑαυτὸν πρότερον ἀναγνούς, λέγει· Καὶ ὧν ἕκαστος κατὰ
φ. 30r διάνοιαν // ἔχει, καὶ πάντων καὶ πασῶν. Καὶ ὅτε ὁ ἱερεὺς ἐκφωνεῖ τό· Ἐν πρώτοις μνήσθητι, Κύριε, τοῦ..., ὁ διάκονος τὰ δίπτυχα τῶν ζώντων* λέγει οὕτως· Εἰς πατριάρχην· Ἀθανασίου τυχὸν ἢ τοῦ δεῖνος, τοῦ ἁγιωτάτου καὶ οἰκουμενικοῦ πατριάρχου· εἰς ἐπίσκοπον· Νίφωνος τοῦ πανιερωτάτου ἐπισκόπου ἡμῶν δεῖνος· καὶ ὑπὲρ τοῦ προσκομίζοντος τὰ ἅγια δῶρα Κυρίῳ τῷ Θεῷ ἡμῶν Ἰωαννικίου ἱερομονάχου, τοῦ τιμίου πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας καὶ παντὸς ἱερατικοῦ τάγματος· ὑπὲρ σωτηρίας, κράτους, νίκης, διαμονῆς τῶν εὐσεβεστάτων καὶ θεοφυλάκτων βασιλέων ἡμῶν Ἀνδρονίκου καὶ Εἰρήνης· ὑπὲρ εἰρήνης καὶ καταστάσεως τοῦ σύμπαντος κόσμου, εὐσταθείας τῶν ἁγίων τοῦ Θεοῦ ἐκκλησιῶν· ὑπὲρ ἀπολυτρώσεως τῶν ἀδελφῶν ἡμῶν τῶν αἰχμαλώτων· ὑπὲρ εὐοδώσεως τοῦ φιλοχρίστου στρατοῦ· ὑπὲρ συγχωρήσεως καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τοῦ περιεστῶτος λαοῦ, καὶ πάντων καὶ πασῶν. Τοῦτο δὲ καὶ ὁ λαὸς λέγει ἔξω.

Ὅτε δὲ ἐκφωνεῖ ὁ ἱερεὺς τό· Καὶ δὸς ἡμῖν ἐν ἑνὶ στόματι..., ποιεῖ ὁ διάκονος μετάνοιαν πρὸς αὐτόν. Καὶ σφραγίζει αὐτὸν ὁ ἱερεὺς λέγων· Καὶ ἔσται τὰ ἐλέη τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ... Ὁ δὲ διάκονος ἐξέρχεται καὶ λέγει· Πάντων τῶν ἁγίων μνημονεύσαντες... Καὶ ὅτε πληρώσει ὁ διάκονος τὴν συναπτήν, ἐκφωνεῖ ὁ ἱερεὺς τό· Καὶ καταξίωσον ἡμᾶς, Δέ-
φ. 30v σποτα... Καὶ ὁ λαὸς τό· Πάτερ ἡμῶν... // Καὶ ὁ ἱερεύς· Ὅτι σοῦ ἐστιν* ἡ βασιλεία... Ὁ λαός· Ἀμήν. Ὁ ἱερεύς· Εἰρήνη πᾶσιν. Ὁ διάκονος· Τὰς κεφαλὰς ἡμῶν... Ὁ

[9] Στὸ περιθώριο· λέγει.

ἱερεύς· Χάριτι καὶ οἰκτιρμοῖς... Ὁ διάκονος· Πρόσχωμεν. Ὁ ἱερεὺς ὑψοῖ τὸν ἄρτον λέγων· Τὰ ἅγια τοῖς ἁγίοις. Εἶτα εἰσέρχεται ὁ διάκονος εἰς τὸ ἅγιον βῆμα καὶ ἐγγίσας τῷ ἁγίῳ ποτηρίῳ διὰ τοῦ ἄκρου τοῦ ὠραρίου, λέγει πρὸς τὸν ἱερέα· Πλήρωσον, δέσποτα, τὸ ποτήριον. Ὁ δὲ ἱερεύς, λαβὼν μερίδα μίαν ἐκ τοῦ ἄρτου καὶ βαλὼν εἰς τὸ ἅγιον ποτήριον, λέγει· Πλήρωμα Πνεύματος ἁγίου. Ὁ διάκονος· Ἀμήν. Καὶ λαβὼν τὸ ζέον λέγει πρὸς τὸν ἱερέα· Εὐλόγησον, δέσποτα, τὸ ζέον. Ὁ δὲ ἱερεὺς λέγει· Εὐλογητὸς ὁ Θεὸς ὁ ζῶν, πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς... Ὁ διάκονος· Ἀμήν. Καὶ ἐπιχέει τὸ θερμὸν ὁ διάκονος ἐν τῷ ἁγίῳ ποτηρίῳ, λέγοντος τοῦ ἱερέως· Ζέσις Πνεύματος ἁγίου. Ἀμήν[10].

Εἶτα ζώννυται τὸ ὠράριον αὐτοῦ σταυροειδῶς ἐπὶ τῶν ἀγκαλῶν* αὐτοῦ. Ὁ δὲ ἱερεὺς αἴρει μερίδα μίαν. Εἶτα λέγει· Οἱ διάκονοι, προσέλθετε. Καὶ δίδωσιν ὁμοίως καὶ τῷ διακόνῳ ἄλλην λέγων· Αὐτὸ τὸ τίμιον καὶ ἅγιον σῶμα τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ μεταλαμβάνει ὁ δοῦλος τοῦ Θεοῦ διάκονος ὁ δεῖνα εἰς ἄφεσιν ἁμαρτιῶν καὶ εἰς ζωὴν αἰώνιον. Καὶ ὁ διάκονος λαβὼν τὴν μερίδα, ἀσπάζεται τὴν δεξιὰν χεῖρα αὐτοῦ λέγων καθ᾽ ἑαυτόν· Τοῦ δείπνου σου τοῦ μυστικοῦ... καὶ τό· Βασιλεῦ οὐράνιε... Ὁμοίως ποιεῖ καὶ λέγει ὁ ἱερεὺς καὶ εἰς τὸ ἅγιον ποτήριον. // φ. 31r
Καὶ μεταλαβὼν καὶ τοῦτο ὁ διάκονος, ἀσπάζεται τὸ ἅγιον ποτήριον καὶ τὸν ἱερέα εἰς τὴν παρειάν. Ὁ ἱερεὺς λέγει· Ὁ Χριστὸς ἐν μέσῳ ἡμῶν. Ὁ διάκονος· Καὶ ἔστι* καὶ ἔσται. Εἶτα συνάγει ὁ διάκονος τὰ λείψανα μετὰ φόβου καὶ βάλλει ἐν τῷ ποτηρίῳ· ἐν ᾧ λαβὼν καὶ τὴν ἁγίαν λαβίδα, καλύπτει αὐτὰ τῷ καλύμματι. Καὶ τοῦ ἱερέως λέγοντος· Μετὰ φόβου Θεοῦ καὶ πίστεως, λαμβάνει ὁ διάκονος τὸ ἅγιον ποτήριον καὶ λέγει τῷ λαῷ· Προσέλθετε. Καὶ λαμβάνει τοῦτο ὁ ἱερεὺς ἀπὸ τοῦ διακόνου καὶ μεταλαμβάνει τὸν λαόν.

Καὶ μετὰ τὸ μεταλαβεῖν, καλύπτει τὸ ποτήριον τῷ καλύμματι καὶ σφραγίζων τὸν λαὸν λέγει καθ᾽ ἑαυτόν· Σῶσον, ὁ Θεός, τὸν λαόν σου καὶ εὐλόγησον... Εἶτα στραφέντος τοῦ ἱερέως, αἴρει αὐτὸ ὁ διάκονος καὶ τίθησιν αὐτὸ ἐπὶ τῆς ἁγίας τραπέζης. Καὶ λέγοντος τοῦ ἱερέως τὴν εὐχήν, αἴρει ὁ διάκονος τὸν θυμιατὸν

[10] Στὸ περιθώριο· Ζέσις Πνεύματος ἁγίου καὶ πίστεως.

καὶ μετὰ τὴν συμπλήρωσιν ταύτης θυμιᾷ ἐπάνω τῆς ἁγίας τραπέζης, τοῦ ἱερέως λέγοντος τό· Ὑψώθητι ἐπὶ τοὺς οὐρανούς... Εἶτα λαβὼν ὁ μὲν διάκονος τὸν δίσκον, ὁ δὲ ἱερεὺς τὸ ἅγιον ποτήριον, λέγει καθ' ἑαυτόν· Εὐλογητὸς ὁ Θεὸς ἡμῶν. Καὶ ἐκφωνεῖ τό· Πάντοτε, νῦν καὶ ἀεὶ... Καὶ ἀπέρχονται καὶ τιθέασι* ταῦτα ἐν τῇ ἁγίᾳ προθέσει.

Εἶτα ἐξέρχεται ὁ διάκονος ἔξω καὶ λέγει· Ὀρθοί· μεταλαβόντες... καὶ τὴν λοιπὴν συναπτήν. Καὶ ὁ ἱερεὺς
φ. 31v συστέλλει τὸ εἰλητὸν καὶ ἐκφωνεῖ· // Ὅτι σὺ εἶ ὁ ἁγιασμὸς ἡμῶν... Καὶ ὁ διάκονος τό· Ἐν εἰρήνῃ προέλθωμεν καί· Τοῦ Κυρίου δεηθῶμεν. Ὁ ἱερεὺς τὴν ὀπισθάμβωνον εὐχήν. Εἶτα τὴν ἐν τῷ σκευοφυλακίῳ. Καὶ μετὰ τοῦτο, ἐξελθὼν μεταδίδωσι τὸ ἀντίδωρον. Καὶ ὁ διάκονος ἀπέρχεται καὶ εἰσκομίζει τὰ ἅγια μετὰ φόβου καὶ τρόμου. Καὶ συστέλλει τὰ ἱερὰ σκεύη. Καὶ ὁ ἱερεὺς μετὰ τὸ δοῦναι τὸ ἀντίδωρον, ἀπέρχεται καὶ ἀπονίπτεται λέγων· Νῦν ἀπολύεις..., Ἅγιος ὁ Θεός..., Παναγία Τριάς..., Πάτερ ἡμῶν..., ἀπολυτίκιον* τῆς ἡμέρας καὶ θεοτοκίον. Εἶτα ποιεῖ καθ' ἑαυτὸν τὴν ἀπόλυσιν, συμπαρόντος καὶ τοῦ διακόνου καὶ σὺν αὐτῷ ψάλλοντος, προορῶν τὸν Χριστὸν ἐνώπιον αὐτοῦ ἀνενδοιάστως, αὐτῷ πρέπει ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

Διακονικά

Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης καὶ τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, εὐσταθείας τῶν ἁγίων τοῦ Θεοῦ ἐκκλησιῶν καὶ τῆς τῶν πάντων ἑνώσεως...

Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου καὶ τῶν μετὰ πίστεως, εὐλαβείας καὶ φόβου Θεοῦ εἰσιόντων ἐν αὐτῷ τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἀρχιεπισκόπου ἡμῶν, τοῦ τιμίου πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας, παντὸς τοῦ κλήρου καὶ τοῦ λαοῦ...

Ὑπὲρ τῶν εὐσεβεστάτων καὶ θεοφυλάκτων βασι-
φ. 32r λέων ἡμῶν, // παντὸς τοῦ παλατίου καὶ τοῦ στρατοπέδου αὐτῶν τοῦ Κυρίου...

Ὑπὲρ τοῦ συμπολεμῆσαι καὶ ὑποτάξαι ὑπὸ τοὺς

πόδας αὐτῶν πάντα ἐχθρὸν καὶ πολέμιον τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς ἁγίας μονῆς ταύτης, πάσης πόλεως, χώρας καὶ τῶν πίστει οἰκούντων ἐν αὐταῖς τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ εὐκρασίας ἀέρων, εὐφορίας τῶν καρπῶν τῆς γῆς καὶ καιρῶν εἰρηνικῶν τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων καὶ τῆς σωτηρίας αὐτῶν τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς καὶ ἀνάγκης τοῦ Κυρίου δεηθῶμεν.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Εἴπωμεν πάντες.

Ἐξ ὅλης [τῆς] ψυχῆς καὶ ἐξ ὅλης τῆς διανοίας εἴπωμεν.

Κύριε παντοκράτορ, ὁ Θεὸς τῶν πατέρων ἡμῶν, δεόμεθά σου: Ἐπάκουσον καὶ ἐλέησον.

Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου: Ἐπάκουσον καὶ ἐλέησον.

Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβεστάτων καὶ θεοφυ-
λάκτων // βασιλέων ἡμῶν· κράτους, νίκης, διαμονῆς, φ. 32v
εἰρήνης, ὑγείας, σωτηρίας αὐτῶν καὶ τοῦ Κύριον τὸν Θεὸν ἡμῶν ἐπιπλέον* συνεργῆσαι, κατευοδῶσαι αὐτοὺς ἐν πᾶσι καὶ ὑποτάξαι ὑπὸ τοὺς πόδας αὐτῶν πάντα ἐχθρὸν καὶ πολέμιον.

Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβεστάτων καὶ φιλοχρίστων βασιλέων ἡμῶν Ἀνδρονίκου καὶ Εἰρήνης.

Ἔτι δεόμεθα ὑπὲρ τοῦ ἀρχιεπισκόπου ἡμῶν δεῖνος.

Ἔτι δεόμεθα ὑπὲρ ἀφέσεως ἁμαρτιῶν τοῦ δούλου τοῦ Θεοῦ δεῖνος ἱερομονάχου καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ὑγείας*, σωτηρίας καὶ ἀφέσεως ἁμαρτιῶν τοῦ δούλου τοῦ Θεοῦ δεῖνος.

Ἔτι δεόμεθα καὶ ὑπὲρ πάντων τῶν διακονούντων καὶ διακονησάντων ἐν τῇ ἁγίᾳ μονῇ ταύτῃ.

+ Ἔτι δεόμεθα καὶ ὑπὲρ τοῦ περιεστῶτος λαοῦ καὶ ἀπεκδεχομένου τὸ παρὰ σοῦ πλούσιον ἔλεος[11].

Ἔτι δεόμεθα ὑπὲρ τῶν ἀειμνήστων καὶ ἀοιδίμων κτητόρων.

Ἔτι δεόμεθα ὑπὲρ τῶν ἐν εὐσεβεῖ τῇ μνήμῃ γενομένων ἀοιδίμων βασιλέων ἡμῶν.

Ἔτι δεόμεθα ὑπὲρ κοιμήσεως, ἀνέσεως, μακαρίας μνήμης καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν προαναπαυσαμένων πατέρων καὶ ἀδελφῶν ἡμῶν, τῶν ἐνθάδε κειμένων καὶ ἁπανταχοῦ ὀρθοδόξων.

[11] Στὸ περιθώριο· καὶ ὑπὲρ τῶν καρποφορούντων καὶ καλλιεργούντων ἐν τῷ ἁγίῳ ναῷ τούτῳ.

φ. 33r // Εὔξασθε, οἱ κατηχούμενοι, τῷ Κυρίῳ.

Οἱ πιστοί, ὑπὲρ τῶν κατηχουμένων δεηθῶμεν, ἵνα ὁ Κύριος αὐτοὺς ἐλεήσῃ.

Κατηχήσῃ αὐτοὺς τὸν λόγον τῆς ἀληθείας.

Ἀποκαλύψῃ αὐτοῖς τὸ εὐαγγέλιον τῆς δικαιοσύνης.

Ἑνώσαι αὐτοὺς τῇ ἁγίᾳ αὐτοῦ καθολικῇ καὶ ἀποστολικῇ Ἐκκλησίᾳ.

Σῶσον, ἐλέησον, ἀντιλαβοῦ καὶ διαφύλαξον αὐτούς, ὁ Θεός, τῇ σῇ χάριτι.

Οἱ κατηχούμενοι, τὰς κεφαλὰς ὑμῶν* τῷ Κυρίῳ κλίνατε.

Ὅσοι κατηχούμενοι, προέλθετε· οἱ κατηχούμενοι, προέλθετε· ὅσοι κατηχούμενοι, προέλθετε· μή τις τῶν κατηχουμένων· ὅσοι πιστοί, ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ἔχεις καὶ τὰ διπλοκατηχούμενα, ἃ λέγονται ἀπὸ τῆς Δ´ τῆς μεσονηστίμου μέχρι τῆς μεγάλης Τετράδος.

Ὅσοι κατηχούμενοι, προέλθετε· οἱ κατηχούμενοι, προέλθετε· ὅσοι πρὸς τὸ φώτισμα, προσέλθετε· εὔξασθε, οἱ πρὸς τὸ φώτισμα.

Οἱ πιστοί, ὑπὲρ τῶν πρὸς τὸ ἅγιον φώτισμα εὐτρεπιζομένων ἀδελφῶν ἡμῶν καὶ τῆς σωτηρίας αὐτῶν τοῦ Κυρίου δεηθῶμεν.

Ὅπως Κύριος ὁ Θεὸς ἡμῶν στηρίξῃ* αὐτοὺς καὶ ἐνδυναμώσῃ.

Φωτίσῃ αὐτοὺς φωτισμῷ γνώσεως.

Καταξιώσῃ αὐτοὺς ἐν καιρῷ εὐθέτῳ τοῦ λουτροῦ τῆς παλιγγενεσίας, τῆς ἀφέσεως τῶν ἁμαρτιῶν καὶ τοῦ ἐνδύματος τῆς ἀφθαρσίας.

// Ἀναγεννήσῃ αὐτοὺς δι᾽ ὕδατος καὶ Πνεύματος. φ. 33v

Χαρίσηται αὐτοῖς τὴν τελειότητα τῆς πίστεως.

Συγκαταριθμήσῃ αὐτοὺς τῇ ἁγίᾳ αὐτοῦ καὶ ἐκλεκτῇ ποίμνῃ.

Σῶσον, ἐλέησον, ἀντιλαβοῦ καὶ διαφύλαξον αὐτούς, ὁ Θεός, τῇ σῇ χάριτι.

Οἱ πρὸς τὸ φώτισμα, τὰς κεφαλὰς ὑμῶν* τῷ Κυρίῳ κλίνατε.

Ὅσοι πρὸς τὸ φώτισμα, προέλθετε· οἱ πρὸς τὸ φώτισμα, προέλθετε· ὅσοι κατηχούμενοι, προέλθετε· μή τις τῶν κατηχουμένων· ὅσοι πιστοί, ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου...

Μετὰ τὴν μεγάλην εἴσοδον, λέγε οὕτως·

Πληρώσωμεν τὴν δέησιν ἡμῶν τῷ Κυρίῳ.

Ὑπὲρ τῶν προτεθέντων τιμίων δώρων τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου καὶ τῶν μετὰ πίστεως, εὐλαβείας καὶ φόβου Θεοῦ εἰσιόντων ἐν αὐτῷ τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς καὶ ἀνάγκης τοῦ Κυρίου δεηθῶμεν.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Τὴν ἡμέραν πᾶσαν τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν, φύλακα τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν καὶ τῶν πλημμελημάτων ἡμῶν παρὰ...

// Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν καὶ εἰρήνην τῷ κόσμῳ παρὰ τοῦ Κυρίου αἰτησώμεθα. φ. 34r

Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐν εἰρήνῃ καὶ ἐν μετανοίᾳ ἐκτελέσαι ἡμᾶς παρὰ τοῦ Κυρίου αἰ...

Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικά, καὶ καλὴν ἀπολογίαν τὴν ἐπὶ τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ, αἰτησώμεθα.

Τῆς παναγίας, ἀχράντου...

Εἰς τὸ τέλος τῆς λειτουργίας λέγε·

Τὴν ἑνότητα τῆς πίστεως καὶ τὴν κοινωνίαν τοῦ ἁγίου Πνεύματος αἰτησάμενοι, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Τέλος

Ὀρθοί, μεταλαβόντες τῶν θείων, ἁγίων, ἀχράντων καὶ ζωοποιῶν τοῦ Χριστοῦ μυστηρίων, εὐχαριστήσωμεν τῷ Κυρίῳ.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡ...

Τὴν ἡμέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον αἰτησάμενοι, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ἑτέρα Πρόθεση, *φ. 196r*

[Ἐν τῷ] μέλλειν ἐκτελεῖσθαι τὴν θείαν ἱερουργίαν, ἀπέρχεται ὅ τε ἱερεὺς καὶ ὁ διάκονος ἔμπροσθεν τῶν ἁγίων θυρῶν καὶ ποιοῦσι μετανοίας γ' λέγοντες τὴν εὐχὴν ταύτην· Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν, ἐξαπόστειλον δύναμιν ἐξ ὕψους ἁγίου σου καὶ ἐνίσχυσόν με εἰς τὴν διακονίαν ταύτην, τοῦ παραστῆναι ἀκατακρίτως τῷ φοβερῷ βήματί σου καὶ προσενέγκαι σοι τὴν ἀναίμακτον θυσίαν· ὅτι εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα εἰσέρχονται εἰς τὸ ἅγιον βῆμα καὶ λαμβάνει ὁ μὲν ἱερεὺς τὸ στιχάριον ἐν τῇ ἀριστερᾷ χειρὶ καὶ προσκυνεῖ τρὶς κατὰ ἀνατολὰς καὶ σφραγίζει αὐτὸ λέγων· Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε νῦν καὶ ἀεὶ καὶ... Καὶ ἐνδυόμενος αὐτὸ λέγει· Ἀγαλλιάσεται ἡ ψυχή μου ἐπὶ τῷ Κυρίῳ, ἐνέδυσε γάρ με ἱμάτιον σωτηρίου καὶ χιτῶνα εὐφροσύνης περιέθηκέ μοι· ὡς νυμφίῳ περιέβαλέ με μίτραν καὶ ὡς νύμφην κατεκόσμησέ με κόσμῳ.

Εἶτα τὸ ἐπιτραχήλιον εὐλογῶν καὶ ἀσπαζόμενος λέγει· Εὐλογητὸς ὁ Θεός, ὁ ἐκχέων τὴν χάριν αὐτοῦ ἐπὶ τοὺς ἱερεῖς αὐτοῦ, ὡς μύρον ἐπὶ κεφαλῆς τὸ καταβαῖνον ἐπὶ πώγωνα, τὸν πώγωνα τὸν Ἀαρών, τὸ καταβαῖνον ἐπὶ τὴν ὤαν* τοῦ ἐνδύματος αὐτοῦ.

// ... ζώνην λαβὼν καὶ εὐλογήσας [ζώννυται... Εὐλογητὸς] ὁ Θεὸς ὁ περιζωννύων με δύναμιν καὶ ἔθετο ἄμωμον τὴν ὁδόν μου, καταρτιζόμενος τοὺς πόδας μου ὡσεὶ ἐλάφου καὶ ἐπὶ τὰ ὑψηλὰ ἱστῶν με. *φ. 196v*

Εἰς τὸ δεξιὸν ἐπιμάνικον λέγει· Δεξιὰ Κυρίου ἐποίησε δύναμιν, δεξιὰ Κυρίου ὕψωσέ με.

Εἰς τὸ ἀριστερόν· Αἱ χεῖρές σου ἐποίησάν με καὶ ἔπλασάν με.

Εἶτα εὐλογῶν τὸν φελώνην καὶ ἐνδυόμενος λέγει· Οἱ ἱερεῖς σου, Κύριε, ἐνδύσονται δικαιοσύνην καὶ οἱ ὅσιοί σου ἀγαλλιάσει ἀγαλλιάσονται.

Ὁ δὲ διάκονος λαβὼν καὶ αὐτὸς τό τε ὠράριον καὶ τὸ στιχάριον ἐν τῇ λαιᾷ χειρί, ποιεῖ τῷ ἱερεῖ μετάνοιαν λέγων· Εὐλόγησον, δέσποτα, τὸ στιχάριν σὺν τῷ οὐραρίῳ.

Καὶ ὁ ἱερεὺς σφραγίζων αὐτὰ λέγει· Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. [Ἀμήν.]

Εἶτα ὁ διάκονος ποιῶν τρεῖς μετανοίας, ἐνδύεται
αὐτὸ λέγων ἐν ἑαυτῷ καὶ τό· Ἀγαλλιάσεται ἡ ψυχή
μου ἐπὶ τῷ Κυρίῳ, ἐνέδυσε γάρ με ἱμάτιον σωτηρίου...
Εἶτα ἀπέρχεται εἰς τὴν πρόθεσιν. Καὶ ποιεῖ στίχον
ὁ ἱερεὺς[1] ἠρεμαίᾳ* φωνῇ. Καὶ λαβὼν προσφοράν, τί-
θησιν μετὰ τῆς ἁγίας λόγχης ἐπάνω εἰς κάλυμμα.
Καὶ ποιήσας μετανοίας τρεῖς, λαβὼν τὴν ἁγίαν λόγχην
καὶ ποιήσας σταυροὺς γ´ ἐπάνω τῆς προσφορᾶς λέγει·
Εἰς ἀνάμνησιν τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν
Ἰησοῦ Χριστοῦ.
φ. 197r // [Καὶ πήξας τὴν ἁγίαν λόγχην...] ἐν τῷ ἑνὶ μέρει·
Ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη. [Εἰς τὸ] ἕτερον· Καὶ
ὡς ἀμνὸς ἐναντίον [τοῦ κείροντος] αὐτὸν ἄφωνος. Ἐν
δὲ τῷ ἄλλῳ· Οὕτως* [οὐκ ἀνοίγει τὸ] στόμα αὐτοῦ.
Καὶ αὖθις τὸ ἕτερον· Ἐν τῇ [ταπεινώσει] αὐτοῦ ἡ
κρίσις αὐτοῦ ἤρθη. Τὴν δὲ γενεὰν αὐτοῦ τίς διηγήσεται;
Καὶ πήξας ἐκ πλαγίου τὴν λόγχην, αἴρει τὸν ἄρτον
καὶ λέγει· Ὅτι αἴρεται ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ. Εἶτα
τίθησιν αὐτὸν ὕπτιον ἐν τῷ δίσκῳ. Καὶ τοῦ διακόνου
λέγοντος· Θῦσον*, δέσποτα, ὁ ἱερεὺς χαράττων σταυρὸν
μετὰ τῆς λόγχης λέγει· Θύεται ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ
αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου ὑπὲρ τῆς τοῦ κόσμου
σωτηρίας. Καὶ νύττων αὐτὸν ἐκ πλαγίου λέγει· Εἷς τῶν
στρατιωτῶν λόγχῃ τὴν πλευρὰν αὐτοῦ ἔνυξε. Καὶ ἐκ-
χέων τὸ νᾶμα καὶ τὸ ὕδωρ εἰς τὸ ἅγιον ποτήριον λέγει·
Καὶ εὐθέως ἐξῆλθεν αἷμα καὶ ὕδωρ καὶ ὁ ἑωρακὼς
μεμαρτύρηκε καὶ ἀληθινή ἐστιν ἡ μαρτυρία αὐτοῦ
πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰώνας τῶν αἰώνων.
Εἰς δὲ τὴν δευτέραν προσφορὰν λέγει· Εἰς δόξαν
καὶ τιμὴν τῆς ὑπερενδόξου, ὑπερευλογημένης δεσποί-
νης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, ἧς ταῖς
πρεσβείαις πρόσδεξαι, Κύριε, τὴν θυσίαν ταύτην εἰς
τὸ ὑπερουράνιόν σου θυσιαστήριον.
Εἰς δὲ τὴν γ´ λέγει· Τῇ δυνάμει τοῦ τιμίου καὶ
ζωοποιοῦ σταυροῦ. Προστασίαις τῶν τιμίων καὶ ἐπου-
ρανίων δυνάμεων ἀσωμάτων. Τοῦ τιμίου, ἐνδόξου προ-
φ. 197v φήτου, προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου. // [Τῶν
ἁγίων ἐνδόξων καὶ πανευφήμων ἀποστόλων Πέτρου...
Λουκᾶ καὶ Μάρκου, Ἀνδρέου]... Θωμᾶ, Βαρθολομαίου,
Σίμωνος καὶ τῶν λοιπῶν... [Τῶν ἐν] ἁγίοις πατέρων

[1] Στὸ περιθώριο· ἢ καὶ Εὐλογητόν.

ἡμῶν καὶ ἱεραρχῶν Βασιλείου τοῦ [Μεγάλου, Γρηγορίου
τοῦ] Θεολόγου, Ἰωάννου τοῦ Χρυσοστόμου, Ἰακώβου
τοῦ Ἀδελφοθέου, Νικολάου τοῦ ἐν Μύροις, Ἰωάννου
τοῦ Ἐλεήμονος, Ἀθανασίου καὶ Κυρίλλου καὶ τῶν
ἑτέρων ἁγίων ἱεραρχῶν. Τῶν ἁγίων ἐνδόξων μεγάλων
μαρτύρων Γεωργίου, Δημητρίου, Προκοπίου, Ἀρτεμίου,
Μερκουρίου, Θεοδώρου τοῦ Στρατηλάτου καὶ Θεοδώρου
τοῦ Τήρωνος καὶ τῶν λοιπῶν ἁγίων μαρτύρων. Τῶν
ἁγίων ἐνδόξων καὶ θαυματουργῶν ἀναργύρων Κοσμᾶ
καὶ Δαμιανοῦ, Κύρου καὶ Ἰωάννου, Παντελεήμονος καὶ
Ἑρμολάου. Τῶν ἁγίων ἐνδόξων προφητῶν Ἠλιοὺ καὶ
Ἐλισαίου. Τῶν ἁγίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης.
Τῶν ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν Ἀντωνίου,
Εὐθυμίου, Σάβα, Θεοδοσίου, Ἐφραίμ, Ἀρσενίου τοῦ
Μεγάλου καὶ παντὸς πνεύματος δικαίου ἐν πίστει τε-
τελειωμένου. Τῶν ἁγίων καὶ πανευφήμων γυναικῶν
Θέκλης, Βαρβάρας, Αἰκατερίνης, Μαρίνης, Εὐφημίας
τῆς Πανευφήμου καὶ τῶν ἑτέρων ἁγίων γυναικῶν. Τοῦ
ἁγίου καὶ ἐνδόξου ... οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν
καὶ πάντων σου τῶν ἁγίων, ὧν ταῖς ἱκεσίαις ἐπίσκεψαι
ἡμᾶς, ὁ Θεός.
Καὶ λαβὼν ἑτέραν προσφορὰν λέγει· Μνήσθητι,
Κύριε, τῶν εὐσεβεστάτων καὶ πιστοτάτων βασιλέων
ἡμῶν, παντὸς τοῦ παλατίου καὶ τοῦ στρατοπέδου
αὐτῶν. Μνήσθητι, Κύριε, τοῦ ἐπισκόπου ἡμῶν, τοῦ
τιμίου πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας καὶ πα-
ντὸς ἱερατικοῦ τάγματος. Μνήσθητι, Κύριε, τοῦ πατρὸς
ἡμῶν καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος. // φ. 198r
... [πάσης ψυχῆς] ...
[...προσφορὰν λέγει· Ἔτι δεόμεθα ὑπὲρ κοιμήσε-
ως,] μακαρίας μνήμης τῶν ἀοιδήμων κτητόρων [τῆς
ἁγίας] ... μνείαν ποιεῖ τῇ ἡμέρᾳ ἐκείνῃ [τῆς ἱερουργίας].
Καὶ εἰς τὸ τέλος λέγει· Μνήσθητι, Κύριε, κατὰ τὸ
πλῆθος τῶν οἰκτιρμῶν σου καὶ τῆς ἐμῆς ἀναξιότητος
καὶ συγχώρησόν μοι πᾶν πλημμέλημα ἑκούσιόν τε καὶ
ἀκούσιον.
Ὁ δὲ διάκονος λαβὼν τὸν θυμιατὸν καὶ θυμίαμα,
ἔρχεται εἰς τὸν ἱερέα καὶ λέγει· Εὐλόγησον, δέσποτα,
τὸ θυμίαμα. Καὶ ὁ ἱερεὺς σφραγίζων αὐτὸ λέγει·
Θυμίαμά σοι προσφέρομεν, Χριστὲ ὁ Θεός, εἰς ὀσμὴν

εὐωδίας πνευματικῆς, ὃ* προσδεξάμενος εἰς τὸ ὑπερουράνιόν σου θυσιαστήριον, ἀντικατάπεμψον ἡμῖν τὴν χάριν τοῦ παναγίου σου Πνεύματος. Καὶ μετὰ τὴν εὐχὴν καπνίζει ὁ ἱερεὺς τὸν ἀστερίσκον τοῦ διακόνου λέγοντος· Τοῦ Κυρίου δεηθῶμεν· καὶ τίθησιν αὐτὸν ἐπάνω τῶν ἁγίων δώρων καὶ λέγει· Τῷ λόγῳ Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν καὶ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐτῶν. Καὶ ἐλθὼν ὁ ἀστὴρ ἔστη ἐπάνω οὗ ἦν τὸ παιδίον. Καὶ πάλιν καπνίζει ὁ ἱερεὺς τὸ κάλυμμα, κἀκεῖ λέγοντος τοῦ διακόνου· Τοῦ Κυρίου δεηθῶμεν· ὃ καὶ τίθησιν ἐπάνω τοῦ ἀστερίσκου λέγων· Ὁ Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο. Ἐνεδύσατο Κύριος δύναμιν... ἕως τέλους. Ὁμοίως καπνίζει καὶ τὸ ἕτερον κάλυμμα λέγοντος τοῦ διακόνου· Τοῦ Κυρίου δεηθῶμεν· καὶ τίθησιν αὐτὸ εἰς τὸ ἅγιον ποτήριον λέγων· Ἐκάλυψεν οὐρανοὺς ἡ ἀρετὴ αὐτοῦ καὶ τῆς συνέσεως αὐτοῦ πλήρης ἡ γῆ. Ὁμοίως καπνίζει καὶ τὸν ἀέρα, καὶ λέγοντος τοῦ διακόνου· Τοῦ Κυρίου δεηθῶμεν, τίθησιν ἐπάνω τοῦ τε δίσκου καὶ τοῦ ποτηρίου λέγων· Σκέπασον ἡμᾶς, ὁ Θεός, ἐν τῇ σκέπῃ // (φ. 198v) τῶν πτερύγων σου πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Εἶτα πάλιν ὁ διάκονος λέγει· Ἐπὶ τῇ προθέσει τῶν τιμίων δώρων, τοῦ Κυρίου δεηθῶμεν. Καὶ ὁ ἱερεὺς τὴν εὐχήν· Ὁ Θεός, ὁ Θεὸς ἡμῶν, ὁ τὸν... Καὶ θυμιάσας αὐτά, ποιοῦσιν ἡσύχως ἀπόλυσιν. Ὁ δὲ διάκονος, ψάλλων τὸν ν΄ θυμιᾷ σταυροειδῶς τὴν ἁγίαν τράπεζαν καὶ τὸ ἱερατεῖον ὅλον· ὡσαύτως καὶ τὸν ναὸν ἅπαντα.

ΔΙΑΤΑΞΙΣ
ΤΗΣ ΘΕΙΑΣ ΛΕΙΤΟΥΡΓΙΑΣ
ΤΟΥ ΑΓΙΟΥ ΦΙΛΟΘΕΟΥ ΤΟΥ ΚΟΚΚΙΝΟΥ

ΕΙΣΑΓΩΓΗ

Ἱστορικό

Ἡ ἐν χρήσει Διάταξη τῆς θείας Λειτουργίας κατὰ παράδοση εἶναι ἔργο τοῦ πατριάρχου Κωνσταντινουπόλεως Φιλοθέου τοῦ Κοκκίνου (1353-55/1364-76). Αὐτός, ὄντας ἁγιορείτης μοναχός, στὸ πρῶτο ἥμισυ τοῦ ιδ΄ αἰῶνος κατέγραψε καὶ διόρθωσε τὴν τάξη τῆς ἱερουργίας ποὺ ἐπικρατοῦσε τότε στὸν Ἄθωνα. Ἀργότερα ἔγινε πατριάρχης. Ἔχοντας τὴν σφραγίδα τοῦ Ἁγιωνύμου Ὄρους καὶ τοῦ Πατριαρχείου τῆς Βασιλευούσης, ἡ Διάταξή του γρήγορα διαδόθηκε σὲ ὅλον τὸν ὀρθόδοξο κόσμο, ἰδιαίτερα δὲ στὶς σλαβικὲς ἐκκλησίες[1]. Στὴν συνέχεια γιὰ διαφόρους λόγους προστέθηκαν καὶ ἀφαιρέθηκαν ὁρισμένα πράγματα στὸ αὐθεντικὸ κείμενο τῆς Διατάξεως.

Τὸν ιθ΄ αἰώνα ἀπὸ τοὺς Ρώσσους λειτουργιολόγους ἀναζητήθηκε τὸ γνήσιο κείμενο. Ὁ καθηγητὴς N. Krasnoseltsev θεώρησε ὅτι τὸ χειρόγραφο τῆς μονῆς Βατοπαιδίου ὑπ. ἀρ. 984[2] περιέχει τὴν ἀρχαιότερη ἔκδοση. Λίγο πρὶν τὸν θάνατό του ὅμως ἔγραψε πὼς τὸ πιὸ παλαιὸ πρέπει νὰ εἶναι τὸ χειρόγραφο 6277-770 τῆς μονῆς τοῦ ἁγίου Παντελεήμονος, ὅπου ὁ Φιλόθεος μνημονεύεται ὡς μητροπολίτης Ἡρακλείας. Αὐτὴν τὴν ἔκδοση τῆς Διατάξεως τὸ 1912 δημοσίευσε ὁ μαθητὴς τοῦ Krasnoseltsev, καθηγητὴς A. Dmitrievskij (1856-1929), ἀργότερα δὲ ὁ καθ. Π. Τρεμπέλας στὸ βιβλίο του «Αἱ τρεῖς λειτουργίαι...». Κανένας ὅμως ἀπὸ αὐτοὺς δὲν εἶχε ὑπ' ὄψιν ἄλλα δύο χειρόγραφα τῆς μονῆς μας: ὑπ' ἀριθμ. 480 καὶ τὸ εἰλητάριο 22.

Χειρόγραφο V.480

Τὸ χειρόγραφο αὐτὸ μὲ τὴν σπουδαία ἔκδοση τῆς Διατάξεως διέφυγε τῆς προσοχῆς τῶν σεβαστῶν καθηγητῶν, διότι καταχωρεῖται ὄχι στὴν λειτουργική, ἀλλὰ στὴν ἁγιοπατερικὴ σειρὰ τῶν χειρογράφων μας καὶ περιέχει ἔργα τοῦ Ματθαίου Βλαστάρεως. Εἶναι γραμμένο σὲ βομβύκινο ὑλικό, ἔχει διαστάσεις 21×31 ἑκ. καὶ στὸν κατάλογο χρονολογεῖται ἀπὸ τὸν ιδ΄ αἰώνα. Στὰ τελευταῖα φύλλα του, 308r-318v (ἀπὸ τὰ 319), παρατίθεται ἡ «Διάταξις τῆς

[1] Ὁ μητροπολίτης Κιέβου ἅγιος Κυπριανὸς καὶ ὁ πατριάρχης Τυρνόβου Βουλγαρίας ἅγιος Εὐθύμιος τὸν ἴδιο αἰώνα μετέφρασαν καὶ ἐφήρμοσαν τὴν Διάταξή του στὶς κατὰ τόπους ἐκκλησίες τους.

[2] Σύμφωνα μὲ τὴν σημερινὴ ἀπαρίθμηση. Σ' ἐκείνη τὴν ἐποχὴ ὑπῆρχε ἄλλη.

θείας λειτουργίας ἐν ᾗ καὶ τὰ διακονικά». Δὲν ἀναφέρεται τὸ ὄνομα τοῦ συντάκτη (τὸ ἴδιο στὸ *V.984*). Μοιάζει μὲ αὐτὴν τοῦ χειρογράφου *V.984*, ἀλλὰ εἶναι λίγο πιὸ πλούσια.

Στὴν Ἐκτενῆ καὶ στὰ Δίπτυχα μετὰ τὸν καθαγιασμὸ μνημονεύονται: ἐπίσκοπος Ἰάκωβος, βασιλεῖς Ἀνδρόνικος καὶ Ἄννα, μετὰ δὲ ἀπ' αὐτοὺς Ἰωάννης. Προφανῶς πρόκειται περὶ τοῦ Ἀνδρονίκου Γ΄ Παλαιολόγου, τῆς συζύγου του Ἄννης τῆς Σαβοΐας καὶ τοῦ διαδόχου τοῦ θρόνου Ἰωάννου Ε΄ Παλαιολόγου. Ὁ τελευταῖος γεννήθηκε τὸ 1332, ἐνῶ ὁ πατέρας του ἀπεβίωσε τὸ 1341. Ὁ δὲ Ἰάκωβος ἐχρημάτισε ἐπίσκοπος Ἱερισσοῦ 1334-1344. Ἑπομένως τὸ χειρόγραφο πρέπει νὰ ἔχει γραφτεῖ στὸ διάστημα 1334-1341 (τὰ παλαιογραφικὰ χαρακτηριστικὰ συνάδουν μὲ αὐτό). Καὶ ἐφ' ὅσον τὸ ἀναφερθὲν χειρόγραφο τῆς μονῆς τοῦ ἁγ. Παντελεήμονος δὲν μποροῦσε νὰ γραφτεῖ πρὶν τὸ 1347, ὅταν ἐξελέγη ὁ ἅγιος Φιλόθεος μητροπολίτης Ἡρακλείας, ἡ Διάταξη τοῦ *V.480* φαίνεται νὰ περιέχει τὴν πιὸ παλαιὰ ἔκδοση.

Χειρόγραφο V.984

Πρόκειται περὶ ἑνὸς ἀξιόλογου Εὐχολογίου ποὺ εἶναι γραμμένο σὲ χαρτὶ καὶ ἀποτελεῖται ἀπὸ 332 φύλλα διαστάσεων 18×27 ἐκ. Στὰ 290r-300v εὑρίσκεται ἡ «Διάταξις τῆς θείας λειτουργίας ἐν ᾗ καὶ τὰ διακονικά». Πρὶν ἀνακαλυφθεῖ τὸ χειρόγραφο τῆς μονῆς τοῦ ἁγ. Παντελεήμονος, τὸ *V.984* ἐθεωρεῖτο ἡ ἀρχαιότερη πηγὴ τῆς Διατάξεως.

Ὅπως εἴπαμε, δὲν ἀναφέρεται τὸ ὄνομα τοῦ συντάκτη, ἀλλὰ στὴν Ἐκτενῆ καὶ τὰ Δίπτυχα ἀναφέρονται ὀνόματα βασιλέων καὶ τοῦ ἀρχιερέως: Ἄννα, Ἰωάννης καὶ Ἑλένη, Ἰάκωβος ἀρχιεπίσκοπος Ἱερισσοῦ καὶ Ἁγίου Ὄρους. Ὁ αὐτοκράτορας Ἰωάννης Ε΄ Παλαιολόγος νυμφεύτηκε τὴν Ἑλένη Καντακουζηνή, κόρη τοῦ Ἰωάννη ΣΤ΄ Καντακουζηνοῦ τὸ 1347. Ἡ δὲ αὐγούστα Ἄννα Σαβοΐας κοιμήθηκε τὸ 1365. Ὁ ἐπίσκοπος Ἰάκωβος προεβιβάσθη σὲ ἀξίωμα μητροπολίτου τὸ 1344 καὶ ἀπεβίωσε τὸ 1365. Γι' αὐτὸ στὸ *V.480* μνημονεύεται ὡς ἐπίσκοπος, ἐδῶ δὲ ὡς ἀρχιεπίσκοπος. Ἐπιπρόσθετα στὸ φύλλο 286r ὑπάρχει μία εὐχὴ στὴν Παναγία ποὺ ἐπιγράφεται· «Τοῦ ἁγιωτάτου καὶ λογιωτάτου πατριάρχου κυροῦ Φιλοθέου...». Καὶ ἐφ' ὅσον ὁ ἅγιος Φιλόθεος ἔγινε πατριάρχης τὸ 1353, τὸ χειρόγραφο χρονολογικὰ πρέπει νὰ τεθεῖ μεταξὺ 1353 καὶ 1365. Καὶ ἡ γραφὴ εἶναι τῆς ἴδιας περιόδου.

Εἱλητάριο ΕΙ.22

Τὸ εἱλητάριο εἶναι μικρῶν διαστάσεων: 0,13×3,81 ἐκ. Χρονολογεῖται, χωρὶς ἀμφιβολία, βάσει τῶν παλαιογραφικῶν χαρακτηριστικῶν στὸ δεύτερο ἥμισυ τοῦ ιδ΄ αἱ. Τὸ ὕφος του ὁμοιάζει μὲ τοῦ τῆς Μονῆς Ὁδηγῶν. Ἐκτὸς ἀπὸ τὴν Διάταξη τῆς θείας Λειτουργίας, περιέχει καὶ αὐτὲς τοῦ Ἑσπερινοῦ καὶ τοῦ Ὄρθρου. Ἀρχίζει ἀπὸ τὴν Ἑσπερινὴ Εἴσοδο, διότι ἡ ἀρχὴ εἶναι κολωβωμένη. Ἀπὸ τὰ τρία χειρόγραφα μόνο σὲ αὐτὸ ἀναφέρεται τὸ ὄνομα τοῦ πατριάρχου Φιλοθέου. Ἐπίσης, διαφέρει μὲν ἀπὸ τὰ ἄλλα δύο χειρόγραφα, μοιάζει δὲ μὲ τὴν Διάταξη τοῦ Γεμιστοῦ στὰ ἑξῆς: α) Τὴν εὐχὴ εὐλόγησης τοῦ εὐαγγελιστοῦ. β) Τὴν ἀπουσία

σημειώσεως περὶ «ἀμοιβαδὸν» ἐκφωνήσεως τοῦ «Ὅσοι κατηχούμενοι...». γ) Τὸ τοῦ ἱερέως «Εὐλογεῖτε, ἅγιοι» στὸν διάκονο μετὰ τὴν Μεγάλη Εἴσοδο.

Τὸ τέλος τῆς Λειτουργίας εἶναι δυσανάγνωστο, διότι τὰ γράμματα ἔχουν ἀπαλειφθεῖ.

Λειτουργικό

- Ἡ τάξη τοῦ «Καιροῦ» εἶναι αὐτὸ ποὺ κάνουν μέχρι σήμερα ὅλοι οἱ ἁγιορεῖτες μοναχοὶ ἅμα τῇ εἰσόδῳ στὸν ναὸ καὶ πρὸ τῆς ἐξόδου ἀπὸ αὐτόν: ἀφοῦ προσκυνήσουν εἰκόνες, κάνουν τρεῖς «μετάνοιες», δηλαδὴ σταυροὺς μὲ ὑποκλίσεις πρὸς τὸ θυσιαστήριο καὶ ἀπὸ μία ὑπόκλιση πρὸς τοὺς χορούς.
- Στὸ περιθώριο τοῦ *ΕΙ.22*, δίπλα στὴν εὐχὴ «Κύριε, ἐξαπόστειλον...», εἶναι γραμμένη μία ἄλλη εὐχή, ἡ ὁποία ἀπευθύνεται στὴν Θεοτόκο καὶ ἀποτελεῖ παραλλαγὴ τῆς ἄνω εὐχῆς.
- Κατὰ τὴν ἔνδυση οἱ κληρικοὶ δὲν προσθέτουν στοὺς στίχους οὔτε τὸ «Τοῦ Κυρίου δεηθῶμεν», οὔτε «...πάντοτε, νῦν...». Ἀξιοσημείωτο εἶναι τὸ ὅτι μόνο τὸ *V.480* παραθέτει τὰ τῆς ἐνδύσεως τοῦ ἱερέως. Τὰ ἄλλα δύο μόνο στὸν διάκονο ἀναφέρονται. Καὶ τὸ δεύτερο σημαντικὸ σημεῖο αὐτόθι: ἐνῶ στὴν ἔνδυση τοῦ διακόνου παρατίθεται ἕνας καὶ γνωστὸς στίχος τοῦ δεξιοῦ ἐπιμανικίου, στὸν ἱερέα δίνεται ἐπιλογὴ νὰ πεῖ ἢ τὸν τοῦ Φιλοθέου «Ἡ δεξιά σου...» ἢ τὸν παλαιὸ «Δεξιὰ Κυρίου...». Μάλιστα, προηγεῖται ὁ τελευταῖος.
- Τὸ «Ἐξηγόρασας...» βρίσκεται πρὶν τὴν ἐναρκτήρια ἐκφώνηση καὶ ὡς ἐναλλακτικὸ τροπάριο τοῦ «Ὁ Θεός, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ».
- Στὸ «Εἰς ἀνάμνησιν...» δὲν προστίθεται «...πάντοτε...». Ἐδῶ παρατηρεῖ κανεὶς ὅτι τὸ «πάντοτε...» δὲν ἐχρησιμοποιεῖτο τότε εὐκαίρως καὶ ἀκαίρως ὅπως σήμερα.
- Τὰ χειρόγραφά μας διαφέρουν στὸν προσδιορισμὸ τῆς πλευρᾶς τοῦ ἄρτου. Αὐτὸ βέβαια δὲν ἀφορᾶ τὶς περιπτώσεις, ὅταν ρητῶς ὑποδεικνύεται σὲ σχέση μὲ τί εἶναι δεξιὰ ἢ ἀριστερά. Στὸ ἁπλοῦν τῆς ἐκφράσεως τῶν τότε Διατάξεων πιὸ φυσικὸ θὰ ἦταν νὰ γράφουν τὰ μέρη ἔτσι, ὅπως τὰ ἔβλεπε ὁ λειτουργός, χωρὶς νὰ δίνεται περίπλοκη καὶ ἀπολυτοποιημένη συμβολικὴ σημασία στὰ πρακτικὰ θέματα.
- Ἰδιαίτερα αὐτὸ φαίνεται ἀπὸ τὴν θέση τῆς μερίδος τῆς Παναγίας: «ἐξ ἀριστερῶν τοῦ ἁγίου ἄρτου», συμφωνοῦν μάλιστα καὶ τὰ τρία χειρόγραφα. Πολὺ ἀργότερα προστέθηκε ὁ ψαλμικὸς στίχος «Παρέστη ἡ βασίλισσα ἐκ δεξιῶν σου...» καὶ οἱ ἀντίστοιχες συμβολικὲς ἑρμηνεῖες.
- Ἰδιαίτερα σημαντικὸ εἶναι τὸ ὅτι γιὰ τὰ τάγματα τῶν ἁγίων αἴρεται μόνο μία μερίδα, ἔναντι τῆς πολὺ μεταγενέστερης συνήθειας τῶν ἐννέα ταγμάτων. Καὶ αὐτὸ μᾶς φαίνεται πιὸ σωστό, διότι ἐννέα εἶναι ὄχι τὰ τάγματα τῶν ἁγίων, ἀλλὰ τῶν ἀγγέλων. Καὶ ἡ προσπάθεια νὰ προσδιοριστοῦν μὲ ἀκρίβεια οἱ ἐννέα ὁμάδες ἀποτυγχάνει: σὲ μερικὰ χειρόγραφα ἐλλείπουν οἱ ἄγγελοι, σὲ μερικὰ οἱ προφῆτες, καὶ κάπου προστίθεται ἡ

δύναμη τοῦ τιμίου Σταυροῦ· ὁ συντάκτης τῆς Λειτουργίας μνημονεύεται δύο φορές, ἐνῶ οἱ Θεοπάτορες, οἱ ἅγιοι τῆς ἡμέρας καὶ ὅλοι οἱ ἅγιοι μαζὶ σὲ μία μερίδα, κ.ο.κ.

- Τὰ δύο χειρόγραφα δίνουν στὸν διάκονο δικαίωμα νὰ βγάζει μερίδες μὲ τὴν λόγχη, μνημονεύοντας καὶ αὐτὸς ὀνόματα. Τὸ νὰ ἐλλείπει αὐτὸ τὸ μέρος τοῦ κειμένου στὸ *EI.22*, ἴσως δεικνύει ὅτι τὸ τελευταῖο χρονικὰ εἶναι μεταγενέστερο, διότι αὐτὴ ἡ συνήθεια στηλιτεύτηκε ἀργότερα καὶ ἀπὸ τὸν ἅγ. Συμεὼν Θεσσαλονίκης, παρ' ὅλο ποὺ κατὰ τὸν Θεόδωρο Ἀνδίδων καὶ μερικὰ λειτουργικὰ χειρόγραφα, τὴν Πρόθεση τελοῦσε ὁ διάκονος. Ὅμως ἐδῶ πρέπει νὰ γίνει καὶ ἡ ἑξῆς διευκρίνηση: ὁ διάκονος ἑτοίμαζε τὸν ἄρτο καὶ τὰ ποτήρια, ἐνῶ ὁ ἱερεὺς κάλυπτε καὶ ἔλεγε τὴν εὐχή. Καὶ ναὶ μὲν ἡ παρουσία τοῦ διακόνου στὴν Πρόθεση ἦταν συνηθισμένο φαινόμενο, ἀλλὰ ἀρχικὰ δὲν ὑπῆρχε μνημόνευση ὀνομάτων καὶ δικαίως παρουσιάστηκε τὸ ζήτημα, ἂν αὐτὸς μποροῦσε νὰ μνημονεύει ὀνόματα ὄχι καθ' ἑαυτὸν μόνο, ἀλλὰ καὶ ὡς λειτουργός. Τελικὰ στὸ πρόβλημα δόθηκε ἀρνητικὴ ἀπάντηση.
- Στὴν εὐχὴ τοῦ θυμιάματος δὲν ὑπάρχει ἡ λέξη «πνευματικῆς», ὅπως καὶ στὰ ἄλλα σημεῖα. Οὔτε στὴν «χάριν» προστίθεται «θεία», ὅπως ἀκριβῶς στὴν εὐχὴ προσκομιδῆς τῆς Λειτουργίας τοῦ Μεγάλου Βασιλείου, μᾶλλον διότι προσδιορίζεται μὲ ἄλλες λέξεις.
- Τὸ *EI.22* σημειώνει, ὅτι ὁ στίχος τῆς κάλυψης τοῦ δισκαρίου λέγεται μέχρι τὸ «...καὶ περιεζώσατο». Τὸ ἀόριστο «ἕως τέλους» στὰ ἄλλα χειρόγραφα εἶχε ὡς ἀποτέλεσμα νὰ λέγεται κάποτε ὁλόκληρος ὁ 92ος ψαλμός. Αὐτὸ καθυστερεῖ πολὺ τὴν Πρόθεση χωρὶς νὰ ἔχουν τὰ λεγόμενα σχέση μὲ τὰ γινόμενα.
- Πρὶν ἀρχίσει ἡ Λειτουργία θυμιάζεται ὅλος ὁ ναός.
- «Βασιλεῦ οὐράνιε...» λέγεται τότε, ὅταν δὲν λέγεται «Δόξα ἐν ὑψίστοις Θεῷ...» καὶ τανάπαλιν. Καὶ μάλιστα τὸ τελευταῖο μόνο δύο φορές, ἐνῶ τὸ «Κύριε, τὰ χείλη μου ἀνοίξεις...» μόνο μία φορά. Ὁ σκοπὸς ἦταν ἁπλός: νὰ γίνουν συνολικὰ τρεῖς μετάνοιες. Πολὺ ἀργότερα οἱ τρεῖς προτάσεις ἔγιναν πέντε κατ' ἀναλογίαν τοῦ Ἑξαψάλμου, ἐνῶ «ἢ τὸ» ἔγινε «καὶ τό».
- Ὕστερα ὁ ἱερεὺς εὔχεται νὰ κατευθύνει ὁ Κύριος τὰ διαβήματα τοῦ διακόνου, ὄχι «εἰς πᾶν ἔργον ἀγαθὸν» ὅπως προστέθηκε ἀργότερα, ἀλλὰ γενικά. Ἐξάλλου, ὅπως παρατηρήθηκε ἀπὸ κάποιον ἄλλο, σὲ τί ἄλλο καλὸ ἔργο μπορεῖ νὰ ἐπείγεται ὁ διάκονος τὴν ὥρα τῆς Λειτουργίας;
- Τὸ ἑπόμενο σημαντικὸ σημεῖο, κατὰ τὴν γνώμη μας, εἶναι ἡ Μικρὰ Εἴσοδος. Τὸ κέντρο της εἶναι ἡ εὐχή, ἡ ὁποία σήμερα λέγεται δυστυχῶς ἢ καθ' ὁδὸν ἢ στὸ ἱερὸ βῆμα ἢ δὲν τῆς δίνεται ἰδιαίτερος χρόνος (ὁ ἱερεὺς πρέπει νὰ βρεῖ μόνος του τὸν χρόνο της), ἐνῶ ἡ ἔμφαση δίνεται στὴν σφράγιση. Ἡ Διάταξή μας λέγει ὅτι πρῶτα βγαίνουν οἱ λειτουργοὶ ἀπὸ τὸ θυσιαστήριο, κλίνουν τὰς κεφαλὰς κατόπιν προτροπῆς τοῦ διακόνου, καὶ τότε λέγεται ἡ εὐχή.

- Ὁ διάκονος δὲν χαράττει σταυρὸ μὲ τὸ ἅγιο Εὐαγγέλιο ὅπως στὴν Ἑσπερινὴ Εἴσοδο μὲ θυμιατό, ἀλλὰ τὸ ὑψώνει.
- Ἀκολουθώντας τὴν πλειοψηφία τῶν Διατάξεων καὶ ἐδῶ ὁ διάκονος «παίρνει καιρὸ» πρὶν τὸ Τρισάγιο, ὁ δὲ ἱερεὺς σφραγίζει αὐτὸν λέγοντας κάποια σύντομη εὐχή. Τὸ *V.480* στὸ περιθώριο δίνει ἐξήγηση τοῦ θέματος.
- Ὅπως καὶ σὲ ὅλη τὴν χειρόγραφή μας παράδοση, ὁ ἱερεὺς ἀνεβαίνει στὴν καθέδρα στὸ τέλος τοῦ Τρισαγίου, δηλαδὴ πηγαίνει πίσω ἀπὸ τὴν ἁγία τράπεζα (δὲν κάθεται βέβαια στὸν ἀρχιερατικὸ θρόνο), εἰρηνεύει γιὰ πρώτη φορὰ τὸν λαὸ (γι' αὐτὸ καὶ «Πρόσχωμεν») καὶ καθήμενος, ὡς ἔχων καὶ αὐτὸς τὸ διδασκαλικὸ χάρισμα, ἀκούει τὸν Ἀπόστολο βλέποντας πρὸς τὸν ἀναγνώστη. Σημειώνει ὁ ἅγιος Φιλόθεος, ὅτι ὁ ἱερεὺς ἵσταται μπροστὰ στὴν ἁγία τράπεζα μόνο ὡς λύση ἀνάγκης, ὅταν δὲν ὑπάρχει χῶρος πίσω ἀπὸ αὐτήν, δηλαδὴ ὅταν εἶναι κολλημένη στὸν ἀνατολικὸ τοῖχο τῆς ἀψῖδος τοῦ ἱεροῦ βήματος.
- Ἡ Διάταξη, πέραν τῶν ἄλλων, ἔχει μεγάλη ἀξία καὶ γιὰ τὸ ὅτι μᾶς διασώζει τὴν ἀκριβῆ τάξη τῶν διακονικῶν ἐκφωνήσεων κατὰ τὰ ἀναγνώσματα, ἀρχίζοντας ἀπὸ τὴν εἰρήνευση καὶ τὸ Προκείμενο μέχρι καὶ τὸ Ἀλληλουάριο. Τὸ σημεῖο αὐτὸ τῆς θείας Λειτουργίας ἔχει παραμορφωθεῖ καὶ ἀτονίσει πολύ, ἐνῶ ὅταν τελεῖται σωστά, εἶναι ἀπὸ τὶς πιὸ ὄμορφες, ξεκούραστες καὶ λαοφιλεῖς στιγμὲς τῆς Λειτουργίας.
- Προσοχὴ στὴν εὐχὴ τῆς εὐλόγησης τοῦ εὐαγγελιστοῦ. Μόνο τὸ *EI.22* ἔχει ὅλον τὸν διάλογο στὴν ἴδια μορφὴ ποὺ ἀπαντᾶται στὴν Διάταξη τοῦ κυροῦ Γεμιστοῦ.
- Καὶ ἐδῶ ὁ διάκονος παίρνει μόνος του τὸ Εὐαγγέλιο, πρὶν δὲ τὴν ἀνάγνωση τοῦ Εὐαγγελίου δὲν ὑπάρχει δεύτερη εἰρήνευση.
- Οἱ δύο παρατεταμένες συναπτὲς (τὰ Εἰρηνικὰ μοιρασμένα στὰ δύο) ὑπὸ τοῦ διακόνου κατὰ τὶς δύο εὐχὲς πιστῶν λέγονται γιὰ νὰ μὴν δημιουργεῖται κενό: ὁ ἱερεὺς χρειάζεται περισσότερο χρόνο νὰ πεῖ τὶς δύο εὐχὲς χωρὶς βία (πιὸ πολὺ στὴν Λειτουργία τοῦ Χρυσοστόμου) παρὰ ὁ διάκονος γιὰ τὸ «Ἀντιλαβοῦ...» καὶ τὸ «Σοφία».
- Στὸ Χερουβικὸ θυμιάζει «κατὰ πάσας τὰς γραφὰς» ὁ διάκονος. Ἄξιον ἀπορίας τὸ γιατί ἔχουν τὰ Χερουβικὰ τόσο μεγάλη χρονικὴ διάρκεια, ἐνῶ βλέπουμε ὅτι ὁ διάκονος θυμιᾷ μόνο τὴν ἁγία τράπεζα, τὸν ἱερέα καὶ τὸ ἱερό, δηλαδὴ ἁπλὰ προετοιμάζει τὸν χῶρο γιὰ τὴν μεταφορὰ τῶν τιμίων δώρων. Μάλιστα τελειώνει πιὸ γρήγορα τὴν θυμίαση παρὰ ὁ ἱερεὺς τὴν εὐχὴ «Οὐδεὶς ἄξιος...». Τὸ δὲ νὰ στέκεται στ' ἀριστερὰ ἐκείνου ἔχει πρακτικὸ σκοπό: γιὰ νὰ πάει πρῶτος στὴν πρόθεση καὶ νὰ θυμιάσει τὰ ἅγια πρὶν τὰ ἄρουν.
- Στὴν Μεγάλη Εἴσοδο ἡ μνημόνευση εἶναι γενικοῦ χαρακτῆρος καὶ χωρὶς «πάντοτε...», τὸ δὲ τροπάριο μετὰ τὴν Εἴσοδο μόνο ἕνα: «Ὁ εὐσχήμων...».
- Διαφορὰ ὑπάρχει στὸν τρόπο τῆς εἰσόδου στὸ ἱερὸ καὶ τῆς ἀποθέσεως τῶν δώρων. Σὲ αὐτὸ τὸ σημεῖο τὸ *V.480* διασώζει πιὸ παλαιὰ τάξη, σημειώνοντας στὸ περιθώριο καὶ τὴν σημερινή, ἡ ὁποία τελικὰ ἐπεκράτησε τὴν ἐποχὴ ἐκείνη, δηλαδὴ κατὰ τὰ μέσα τοῦ ιδ΄ αἰῶνος.

- Καὶ στὰ τρία χειρόγραφα ἀπαντᾶται τὸ «Ἄρατε πύλας...» ἢ / καὶ «Εὐλογημένος ὁ ἐρχόμενος...». Αὐτὸν τὸν διάλογο διάφορες Διατάξεις τὸν παρουσιάζουν διαφορετικά. Δὲν ὑπάρχει συμφωνία οὔτε στὰ τρία χειρόγραφά μας.
- Συμφωνοῦν ὅμως στὸ νὰ εὔχεται ὁ διάκονος στὸν ἱερέα· «Πνεῦμα ἅγιον ἐπελεύσεται...» καὶ ὄχι ἀντίστροφα ὅπως λανθασμένα ἔχει ἐπικρατήσει. Ἐδῶ συναντοῦμε μία ἄλλη ὁμοιότητα τοῦ *EI.22* μὲ τὴν Διάταξη τοῦ Γεμιστοῦ: ὁ ἱερεὺς λέει ὄχι τὸ ἀμφιλεγόμενο «Εὖξαι ὑπὲρ ἐμοῦ, δέσποτα», ἀλλὰ «Εὐλογεῖτε, ἅγιοι».
- Ὁ ἀέρας αἴρεται ὄχι κατὰ τὴν ἀπαγγελία τοῦ Συμβόλου, ἀλλὰ στὸ «Στῶμεν καλῶς...». Τὸ ἴδιο βλέπουμε καὶ σὲ περισσότερες Διατάξεις καὶ στὴν Λειτουργία τοῦ Ἰακώβου.
- Ὁ διάκονος πάλι στέκεται στ' ἀριστερὰ τοῦ ἱερέως γιὰ λόγους πρακτικούς: γιὰ νὰ ἀφαιρέσει τὸν ἀστερίσκο στὸ «Τὸν ἐπινίκιον ὕμνον...».
- Λέγοντας τοὺς λόγους τῆς συστάσεως, ὁ ἱερεὺς δεικνύει μαζὶ μὲ τὸν διάκονο τὸν ἄρτο καὶ τὸ ποτήριο ἀντίστοιχα. Κάτι παρόμοιο εἴδαμε καὶ στὴν Διάταξη τοῦ *SYN.381*. Τὸ ἴδιο κάνει καὶ στὸ «Τὰ σὰ ἐκ τῶν σῶν σοὶ προσφέροντες...» δείχνοντας ἀμφότερα τὰ εἴδη. Αὐτὴν τὴν ἀρχαία τάξη διατήρησαν μέχρι τώρα μόνο οἱ παλαιόπιστοι Ρῶσσοι, ἀντὶ τῆς ὑψώσεως τῶν δώρων, ἡ ὁποία ἐμφανίζεται γιὰ πρώτη φορὰ τὸν ιζ´ στὴν νότια Ρωσία.
- Κατὰ τὸν καθαγιασμό, στὸ περιθώριο τοῦ *V.480* διαβάζουμε μία πολὺ σημαντικὴ σημείωση. Ὁ συντάκτης ἀναφέρει ὅτι ὑπάρχουν δύο παραδόσεις σχετικὰ μὲ τὶς διακονικὲς παρακελεύσεις στὸ συγκεκριμένο σημεῖο τῆς θείας Εὐχαριστίας, καὶ δίνει τὴν δυνατότητα στὸν διάκονο νὰ διαλέξει ὁ ἴδιος τί θὰ πεῖ: «Ἔνι γοῦν καὶ τοῦτο καλὸν ὥσπερ κἀκεῖνο, καὶ ὅπερ θέλεις εἰπεῖν ἐκ τῶν δύο, λέγε»[3]. Αὐτὴ εἶναι πολὺ σπουδαία ἀρχή, ἡ ὁποία πρέπει νὰ τηρεῖται σὲ ὅλα τὰ δευτερεύοντα λειτουργικὰ θέματα καὶ ἔτσι θὰ ἀποφεύγονται ἔριδες καὶ συγκρούσεις τῶν διαφόρων παραδόσεων.
- Πρὶν καὶ μετὰ τὴν ἐκφώνηση «Ἐν πρώτοις...» τὸ *V.480* καὶ τὸ *V.984* παραθέτουν ὁλόκληρη τὴν διακονικὴ ἐκφώνηση καὶ πάλι ὁλόκληρο τὸ κείμενο τῶν διπτύχων μὲ συγκεκριμένα ὀνόματα βασιλέων καὶ ἀρχιερέως.
- Πρὶν τὴν ἐκφώνηση «Τὰ ἅγια τοῖς ἁγίοις» ὁ διάκονος παρακολουθεῖ τὶς κινήσεις τοῦ ἱερέα. Ἄρα σὲ ἐκείνη τὴν ἐποχὴ σὲ αὐτὸ τὸ σημεῖο ἡ κουρτίνα τῶν βημοθύρων, τὸ καταπέτασμα δηλαδή, ἦταν ἀνοιχτή.
- Μία λεπτομέρεια τοῦ τρόπου τῆς κοινωνίας τοῦ σώματος Χριστοῦ: ὁ ἱερεὺς παίρνει μία μερίδα, τὴν σφίγγει στὴν παλάμη του καὶ μὲ τὰ ἐλεύθερα δάκτυλα δίνει στὸν διάκονο ἄλλη μερίδα μὲ σκοπὸ νὰ κοινωνήσουν ἀμφότεροι ταυτόχρονα.
- Ὁ διάκονος, ἀφοῦ τοῦ ἐπιτρέψει ὁ ἱερεύς, παίρνει μόνος του τὸ ἅγιο ποτήριο. Καὶ ἀπὸ αὐτὸ τὸ σημεῖο βλέπουμε ὅτι διάκονος στὰ πρακτικὰ ζητήματα κάνει ὅλα ὅσα κάνει ὁ ἱερεύς, δηλαδὴ δὲν εἶναι ἁπλὸς νεωκόρος.

[3] Αὐτὴ ἡ σημείωση, ἐνσωματωμένη ὅμως μέσα στὸ κείμενο, βρίσκεται στὸ χειρόγραφο Sina gr. 2046 τοῦ ιδ´-ιε´ αἰ.

- Τὸ ἀμφιλεγόμενο «Εὐλογητὸς ὁ Θεὸς ἡμῶν» πρὶν τὸ «Πάντοτε...» ἀπαντᾶται στὰ δύο χειρόγραφα, ἐνῶ στὸ *V.984* λείπει.
- Τὴν ἀρχαιότητα τοῦ τελευταίου δείχνει τὸ ἄρθρο «οἱ» στὸ «Ὀρθοί· μεταλαβόντες...», τὸ ὁποῖο δεύτερο χέρι τὸ ἀπάλειψε.
- Μετὰ τὴν προτροπὴ τοῦ διακόνου «Ἐν εἰρήνῃ προέλθωμεν» λέγεται ἡ ὀπισθάμβωνη εὐχὴ «ἐν τῷ συνήθει τόπῳ», ποὺ μὲ κανένα τρόπο δὲν εἶναι μπροστὰ στὴν εἰκόνα τοῦ Χριστοῦ. Ἐξάλλου ὁ Χριστὸς δὲν εἶναι ὁ ἴδιος «Πατὴρ τῶν φώτων» γιὰ νὰ ἀπευθύνεται ἡ εὐχὴ σὲ αὐτόν, ἀλλὰ εἷς ἐκ τῶν δύο Φώτων, ὁμοῦ μετὰ τοῦ παναγίου Πνεύματος.

Μέθοδος ἐκδόσεως

Τὸ κείμενο ἐλήφθη ἐκ τοῦ χειρογράφου *V.480*, οἱ δὲ διάφορες γραφὲς τῶν *V.984* καὶ *EI.22* παρατίθενται στὶς ὑποσημειώσεις. Ἐντὸς ἀγκυλῶν [ ] εὑρίσκονται τὰ ἐν μὲν τῷ κυρίῳ χειρογράφῳ γεγραμμένα, παραλειφθέντα δὲ ἐν τῷ *V.984*. Ἐντὸς δὲ ἀγκυλῶν { } τὰ παραλειφθέντα ἐν τῷ *EI.22*.

Ἐὰν οἱ διαφορὲς εἶναι ἀσήμαντες, παραβλέπονται (π.χ. ἀντὶ «τρὶς» τὸ «γ´»).

ΚΕΙΜΕΝΟ

Διάταξις τῆς θείας λειτουργίας ἐν ᾗ καὶ τὰ διακονικά[1]

Μέλλων ὁ ἱερεὺς τὴν θείαν ἐπιτελεῖν μυσταγωγίαν, ὀφείλει προηγουμένως μὲν κατηλλαγμένος εἶναι μετὰ πάντων καὶ μὴ ἔχειν κατά τινος, καὶ τὴν καρδίαν ὅση δύναμις ἀπὸ πονηρῶν τηρῆσαι λογισμῶν, ἐγκρατεύσασθαί τε μικρὸν ἀφ᾽ ἑσπέρας καὶ ἐγρηγορέναι μέχρι τοῦ τῆς ἱερουργίας καιροῦ.

Τοῦ δὲ καιροῦ ἐπιστάντος, μετὰ τὸ ποιῆσαι τὴν συνήθη τῷ προεστῶτι μετάνοιαν, εἰσέρχεται ἐν τῷ ναῷ καὶ ἑνωθεὶς τῷ διακόνῳ, ποιοῦσιν ὁμοῦ πρὸς ἀνατολὰς προσκυνήματα τρία, καὶ εἰς τοὺς δύο χοροὺς ἀνὰ ἕν, καὶ οὕτως ἀπέρχονται. Ὅτε δὲ προσκυνοῦσι, λέγουσι καθ᾽ ἑαυτοὺς[2] καὶ τὴν εὐχὴν ταύτην[3]·

Κύριε, ἐξαπόστειλον τὴν χεῖρά σου ἐξ ὕψους κατοικητηρίου σου καὶ ἐνίσχυσόν με εἰς τὴν προκειμένην διακονίαν σου, ἵνα ἀκατακρίτως παρασταθῶ τῷ φοβερῷ σου βήματι[4] καὶ τὴν ἀναίμακτον ἱερουργίαν ἐπιτελέσω· ὅτι σοῦ ἐστιν ἡ δύναμις εἰς τοὺς αἰῶνας {τῶν αἰώνων}. Ἀμήν[5].

Ἐλθόντες δὲ εἰς τὸ ἱερατεῖον, λαμβάνουσιν ἐν ταῖς χερσὶν αὐτῶν ἕκαστος τὸ στιχάριον αὐτοῦ καὶ ποιοῦσι προσκυνήματα τρία πρὸς ἀνατολάς, λέγοντες καθ᾽ ἑαυτὸν ἕκαστος τό· Ὁ Θεός, ἱλάσθητί μοι τῷ {ἁμαρτωλῷ}.

Εἶτα προσέρχεται τῷ ἱερεῖ ὁ διάκονος, κρατῶν ἐν τῇ δεξιᾷ χειρὶ τὸ στιχάριον σὺν τῷ ὠραρίῳ, καὶ ὑποκλίνας {αὐτῷ} τὴν κεφαλὴν λέγει· Εὐλόγησον, δέσποτα, τὸ στιχάριον σὺν τῷ ὠραρίῳ. Ὁ δὲ ἱερεύς· Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε, νῦν καὶ {ἀεὶ καὶ εἰς τοὺς [αἰῶνας τῶν αἰώνων]}. Εἶτα ὑποχωρεῖ καθ᾽ ἑαυτὸν ὁ διάκονος εἰς ἓν μέρος τοῦ ἱερατείου καὶ ἐνδύεται τὸ στιχάριον εὐχόμενος οὕτως· Ἀγαλλιάσεται ἡ ψυχή μου ἐπὶ τῷ Κυρίῳ, ἐνέδυσε γάρ με ἱμάτιον σωτηρίου καὶ χιτῶνα εὐφροσύνης περιέβαλέ με, ὡς νυμφίῳ περιέθηκέ μοι μίτραν καὶ ὡς νύμφην κατεκόσμησέ με κόσμῳ[6].

Καὶ τὸ μὲν ὠράριον ἀσπασάμενος, ἐπιτίθησι τῷ ἀριστερῷ ὤμῳ,

[1] *EI.22* ἀρχίζει· Τοῦ ἁγιωτάτου καὶ σοφωτάτου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως, νέας Ῥώμης καὶ οἰκουμενικοῦ πατριάρχου κυροῦ Φιλοθέου διάταξις...

[2] *EI.22*· πρὸς ἑαυτούς.

[3] *V.480* στὸ περιθώριο· Εὐχή.

[4] *EI.22*· φοβερῷ βήματί σου.

[5] *EI.22* στὸ περιθώριο· Ἐξαπόστειλόν μοι, Παρθένε, δύναμιν ἐκ τῆς ἐνοικησάσης σοι τοῦ Θεοῦ χάριτος καὶ τοῦ ὕψους τῆς σῆς καθαρότητος, καὶ ἐνίσχυσόν με εἰς τὴν τοῦ Υἱοῦ σου προκειμένην διακονίαν, ἵνα ἀκατακρίτως τῷ αὐτοῦ βήματι παραστῶ καὶ ὡς αὐτῷ φίλον τὴν ἀναίμακτον ἱερουργίαν ἐπιτελέσω· ὅτι καὶ ἐν σοὶ ἐκ τῆς πρὸς αὐτὸν παρρησίας ἐξουσία καὶ δύναμις καὶ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

[6] Διὰ δευτέρας χειρὸς τὴν ἄλλη κατάληξη· -ον. Ἐπίσης *V.984*· κόσμον.

φ. 308r

τὰ δὲ ἐπιμάνικα περιτιθέμενος ταῖς χερσίν, ἐν μὲν τῷ δεξιῷ λέγει· Ἡ δεξιά σου, Κύριε, δεδόξασται ἐν ἰσχύϊ· ἡ δεξιά σου χείρ, Κύριε, ἔθραυσεν ἐχθροὺς καὶ τῷ πλήθει τῆς δόξης σου συνέτριψας τοὺς ὑπεναντίους.

Ἐν δὲ τῷ ἀριστερῷ λέγει· Αἱ χεῖρές σου ἐποίησάν με {καὶ ἔπλασάν με, συνέτισόν με καὶ μαθήσομαι τὰς ἐντολάς σου}.

Εἶτα ἀπελθὼν ἐν τῇ προθέσει, εὐτρεπίζει τὰ ἱερά· τὸν μὲν ἅγιον δίσκον τιθεὶς ἐν τῷ μέρει τῷ ἀριστερῷ, τὸ δὲ ποτήριον ἐν τῷ δεξιῷ, καὶ τὰ ἄλλα σὺν αὐτοῖς.

[{Καὶ ὁ ἱερεὺς δὲ οὕτως ἐνδύεται· λαβὼν τὸ στιχάριον ἐν τῇ ἀριστερᾷ χειρὶ καὶ προσκυνήσας τρίτον κατὰ ἀνατολὰς ὡς εἴρηται, σφραγίζει αὐτὸ λέγων· Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε, νῦν καὶ... Εἶτα ἐνδύεται αὐτὸ λέγων· Ἀγαλλιάσεται ἡ ψυχή μου ἐπὶ τῷ Κυρίῳ, ἐνέδυσε γάρ με ἱμάτιον σωτηρίου καὶ χιτῶνα εὐφροσύνης περιέβαλέ με, ὡς νυμφίῳ περιέθηκέ μοι μίτραν καὶ ὡς νύμφην κατεκόσμησέ με κόσμῳ[7].

Εἶτα λαβὼν τὸ ἐπιτραχήλιον καὶ σφραγίσας, περιτίθεται αὐτὸ λέγων· Εὐλογητὸς ὁ Θεός, ὁ ἐκχέων τὴν χάριν αὐτοῦ ἐπὶ τοὺς ἱερεῖς αὐτοῦ, ὡς μύρον ἐπὶ κεφαλῆς τὸ καταβαῖνον ἐπὶ πώγωνα, τὸν πώγωνα τὸν Ἀαρών, τὸ καταβαίνων ἐπὶ τὴν ᾤαν τοῦ ἐνδύματος αὐτοῦ.

Εἶτα λαβὼν τὴν ζώνην, λέγει περιζωννύμενος· Εὐλογητὸς ὁ Θεός, ὁ περιζωννύων με δύναμιν καὶ ἔθετο ἄμωμον τὴν ὁδόν μου.

Τὰ δὲ ἐπιμάνικα περιτιθέμενος ταῖς χερσίν, ἐν μὲν τῷ δεξιῷ λέγει· Δεξιὰ Κυρίου ἐποίησε δύναμιν, δεξιὰ Κυρίου ὕψωσέ με. Ἤ· Ἡ δεξιά σου, Κύριε, δεδόξασται ἐν ἰσχύϊ...[8]

Ἐν δὲ τῷ ἀριστερῷ λέγει· Αἱ χεῖρές σου ἐποίησάν με καὶ ἔπλασάν με...

Μετὰ ταῦτα, λαβὼν τὸν φελώνην καὶ σφραγίσας, λέγει ἐνδυόμενος· Οἱ ἱερεῖς σου, Κύριε, ἐνδύσονται δικαιοσύνην καὶ οἱ ὅσιοί σου ἀγαλλιάσει ἀγαλλιάσονται.

Εἶτα εὐθὺς ἔρχεται εἰς τὴν πρόθεσιν καὶ ποιεῖ μετὰ τοῦ διακόνου προσκυνήματα τρία, λέγοντες ἕκαστος τό· Ὁ Θεός, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ·

[7] Διὰ δευτέρας χειρὸς τὴν ἄλλη κατάληξη· -ον.

[8] *V.480* στὸ περιθώριο τὸ σύμπλεγμα· Σημείωσαι.

φ. 308v

ἢ τό· Ἐξηγόρασας ἡμᾶς ἐκ τῆς κατάρας τοῦ νόμου...}][9]

Καὶ ποιεῖ ὁ ἱερεὺς εὐλογητόν[10]. Εἶτα λαμβάνει[11] ἐν μὲν τῇ ἀριστερᾷ χειρὶ τὴν προσφοράν, ἐν δὲ τῇ δεξιᾷ τὴν ἁγίαν λόγχην. Καὶ σφραγίζων μετ᾽ αὐτῆς[12] τρίτον ἐπάνω τῆς σφραγῖδος τῆς προσφορᾶς λέγει· Εἰς ἀνάμνησιν τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ἐκ τρίτου. Καὶ εὐθὺς πήγνυσι τὴν λόγχην ἐν τῷ δεξιῷ[13] μέρει τῆς σφραγῖδος καὶ λέγει ἀνατέμνων· Ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη. Ἐν δὲ τῷ ἀριστερῷ[14]· Καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείροντος αὐτὸν ἄφωνος, οὕτως οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ. Ἐν τῷ ἄνω [{πάλιν}] μέρει τῆς σφραγῖδος· Ἐν τῇ ταπεινώσει αὐτοῦ ἡ κρίσις αὐτοῦ ἤρθη. Ἐν {δὲ} τῷ κάτω· Τὴν δὲ γενεὰν αὐτοῦ τίς διηγήσεται;

Ὁ δὲ διάκονος, [{ἐνορῶν εὐλαβῶς τῇ τοιαύτῃ τελετῇ, }] λέγει κατὰ μίαν ἑκάστην ἀνατομήν[15]· Τοῦ Κυρίου δεηθῶμεν, κρατῶν καὶ τὸ ὠράριον ἐν τῇ δεξιᾷ [{χειρί}][16]. Μετὰ ταῦτα λέγει ὁ διάκονος· Ἔπαρον, δέσποτα. Καὶ ὁ ἱερεὺς ἐμβάλλων τὴν λόγχην ἐκ πλαγίου τοῦ δεξιοῦ[17] μέρους τῆς προσφορᾶς, ἐπαίρει τὸν ἅγιον ἄρτον λέγων οὕτως· Ὅτι αἴρεται ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ. Καὶ θεὶς αὐτὸν ὕπτιον ἐν τῷ ἁγίῳ δίσκῳ, εἰπόντος τοῦ διακόνου· Θῦσον, δέσποτα, θύει αὐτὸν σταυροειδῶς [{οὕτω λέγων}][18]· Θύεται ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς καὶ σωτηρίας. Καὶ στρέφει τὸ ἕτερον μέρος ἐπάνω, τὸ ἔχον τὸν σταυρόν, εἰ μήπως ἔνι ζέων καὶ ἀτμίζων[19], τότε γὰρ ὕπτιος[20] κείσθω, [{ἵνα μὴ ποιήσῃ}][21] κάτωθεν ὑγρότητα[22]. Νύττων δὲ αὐτὸν ἐν τῷ δεξιῷ μέρει μετὰ τῆς λόγχης ἐπιλέγει· Εἷς τῶν στρατιωτῶν λόγχῃ {τὴν πλευρὰν αὐτοῦ}[23] ἔνυξε καὶ εὐθέως ἐξῆλθεν αἷμα καὶ ὕδωρ· καὶ ὁ ἑωρακὼς μεμαρτύρηκε καὶ ἀληθινή ἐστιν* ἡ μαρτυρία αὐτοῦ. Ὁ δὲ διάκονος ἐγχέει τῷ ἁγίῳ ποτηρίῳ ἐκ τοῦ νάματος ὁμοῦ καὶ τοῦ ὕδατος[24], εἰπὼν πρότερον πρὸς τὸν ἱερέα· Εὐλόγησον, δέσποτα, καὶ λαβὼν ἐπ᾽ αὐτοῖς εὐλογίαν.

Ὁ δὲ ἱερεύς,

[9] *V.984, EI.22*· Εἶτα ἐλθόντος καὶ τοῦ ἱερέως, ποιοῦσιν ὁμοῦ προσκυνήματα τρία ἔμπροσθεν τῆς προθέσεως λέγοντες ἕκαστος τό· Ὁ Θεός, ἱλάσθητί μοι {τῷ ἁμαρτωλῷ}· ἢ τό· Ἐξηγόρασας ἡμᾶς...

[10] *V.480* στὸ περιθώριο· Προσκομιδὴ α΄.

[11] *V.984, EI.22* προσθέτουν· ὁ ἱερεύς.

[12] *V.984, EI.22*· σὺν αὐτῇ.

[13] *EI.22*· ἀριστερῷ.

[14] *EI.22*· δεξιῷ.

[15] *V.984, EI.22*· ἐν μιᾷ ἑκάστῃ ἀνατομῇ λέγει.

[16] *V.984*· αὐτοῦ. *EI.22*· τὸ ὠράριον αὐτοῦ ἐν τῇ δεξιᾷ.

[17] *EI.22*· ἀριστεροῦ.

[18] *V.984, EI.22*· σταυροειδῶς ὁ ἱερεὺς ἐπιλέγων.

[19] *EI.22*· ζέον καὶ ἀτμίζον.

[20] *EI.22*· ὑπτίως.

[21] *V.984, EI.22*· διὰ τὸ μὴ ποιῆσαι.

[22] *V.480*· Σημείωσαι.

[23] *EI.22*· αὐτοῦ τὴν πλευράν.

[24] *V.984*· τοῦ οἴνου καὶ τοῦ ὕδατος ὁμοῦ. *EI.22*· τοῦ νάματος καὶ τοῦ ὕδατος ὁμοῦ.

φ. 309r

λαβὼν ἐν ταῖς χερσὶ τὴν δευτέραν προσφοράν, λέγει[25]· Εἰς τιμὴν καὶ μνήμην τῆς ὑπερευλογημένης δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας· ἧς ταῖς πρεσβείαις πρόσδεξαι, Κύριε, τὴν θυσίαν ταύτην εἰς τὸ ὑπερουράνιόν σου θυσιαστήριον. Καὶ αἴρων μερίδα μετὰ τῆς ἁγίας λόγχης, τίθησιν ἐξ ἀριστερῶν τοῦ ἁγίου ἄρτου.

Ἐν τῇ τρίτῃ προσφορᾷ λέγει[26]· Τοῦ τιμίου, ἐνδόξου προφήτου, προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου. Τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων ἀποστόλων. Τῶν ἐν ἁγίοις πατέρων ἡμῶν καὶ ἱεραρχῶν Βασιλείου τοῦ Μεγάλου, Γρηγορίου τοῦ Θεολόγου, Ἰωάννου τοῦ Χρυσοστόμου, {Ἀθανασίου καὶ Κυρίλλου, Νικολάου τοῦ ἐν Μύροις}[27] καὶ πάντων τῶν ἁγίων ἱεραρχῶν. Τοῦ ἁγίου ἀποστόλου, πρωτομάρτυρος καὶ ἀρχιδιακόνου Στεφάνου. Τῶν ἁγίων μεγάλων μαρτύρων {Δημητρίου, Γεωργίου,}[28] Θεοδώρων καὶ πάντων τῶν ἁγίων μαρτύρων. Τῶν ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν {Ἀντωνίου, Εὐθυμίου, Σάβα, Ὀνουφρίου, Ἀθανασίου τοῦ ἐν τῷ Ἄθῳ καὶ πάντων τῶν ὁσίων}. Τῶν ἁγίων καὶ θαυματουργῶν ἀναργύρων. Τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης. Τοῦ ἁγίου τοῦδε (τοῦ κατὰ τὴν ἡμέραν δηλονότι) καὶ πάντων τῶν ἁγίων, ὧν ταῖς ἱκεσίαις ἐπίσκεψαι ἡμᾶς, ὁ Θεός. Καὶ οὕτως αἴρων τὴν μερίδα, τίθησιν[29] αὐτὴν ἐν τῷ αὐτῷ[30] μέρει, ἤτοι τῷ ἀριστερῷ. Ὑποκάτω δὲ τὰς λοιπὰς ἐφεξῆς τίθησιν[31].

Εἶτα λαμβάνων ἑτέραν προσφορὰν λέγει[32]· Ὑπὲρ πάσης ἐπισκοπῆς ὀρθοδόξων· τοῦ ἐπισκόπου[33] ἡμῶν τοῦδε, τοῦ τιμίου πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας καὶ παντὸς ἱερατικοῦ τάγματος· {τῶν εὐσεβεστάτων καὶ θεοφυλάκτων βασιλέων ἡμῶν·} τοῦ δούλου σου[34] τοῦδε (τοῦ καθηγουμένου δηλονότι)· τῶν ἀδελφῶν καὶ συλλειτουργῶν ἡμῶν, πρεσβυτέρων καὶ διακόνων, καὶ πάντων τῶν ἀδελφῶν ἡμῶν, οὓς προσεκαλέσω εἰς τὴν σὴν κοινωνίαν διὰ τῆς σῆς εὐσπλαγχνίας, πανάγαθε Δέσποτα[35]. Εἶτα λέγει {καὶ} οὓς ἔχει ζῶντας κατ' ὄνομα, καὶ

[25] *V.480* στὸ περιθώριο· β΄ μερίδα.

[26] *V.480* στὸ περιθώριο· γ΄ μερίδα. Στὸ κείμενο μία καὶ πλέον γραμμὴ ἀπηλειμμένη. Μᾶλλον ἔγραφε· Δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ, τῶν τιμίων ἐπουρανίων δυνάμεων ἀσωμάτων.

[27] Ἴσως διότι ὑπάρχει ἐδῶ συρραφή.

[28] *El.22*· Γεωργίου, Δημητρίου.

[29] *El.22*· αἴρει... καὶ τίθησιν.

[30] *V.984*· αὐτοῦ.

[31] *V.480*· Σημείωσαι.

[32] *V.480* στὸ περιθώριο· δ΄ μερίδα.

[33] *V.984, El.22*· ἀρχιεπισκόπου.

[34] *V.984, El.22*· τοῦ Θεοῦ.

[35] *V.480*· Σημείωσαι.

φ. 309 v

οὕτως αἴρει τὴν μερίδα.

Ἐν τῇ ἑτέρᾳ προσφορᾷ λέγει οὕτως[36]· Ὑπὲρ μνήμης καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν μακαρίων κτητόρων τῆς ἁγίας μονῆς ταύτης. Εἶτα μνημονεύει τοῦ χειροτονήσαντος αὐτὸν ἀρχιερέως καὶ ἑτέρων, ὧν θέλει κεκοιμημένων κατ' ὄνομα. Καὶ τελευταῖον ἐπιλέγει οὕτως· Καὶ πάντων τῶν ἐπ' ἐλπίδι ἀναστάσεως[37] ζωῆς αἰωνίου καὶ τῇ σῇ κοινωνίᾳ κεκοιμημένων ὀρθοδόξων πατέρων καὶ ἀδελφῶν ἡμῶν, φιλάνθρωπε Κύριε[38]. Καὶ αἴρει μερίδα.

{Ὁ δὲ διάκονος, λαβὼν καὶ αὐτὸς προσφορὰν καὶ τὴν ἁγίαν λόγχην, λέγει οὕτως[39]· Μνήσθητι, Κύριε, τῆς ἐμῆς ἀναξιότητος καὶ συγχώρησόν μοι πᾶν πλημμέλημα ἑκούσιόν τε καὶ ἀκούσιον. Εἶτα μνημονεύει καὶ ὧν βούλεται ζώντων καὶ ἐν ἑτέρᾳ προσφορᾷ κεκοιμημένων ὡσαύτως, καὶ τίθησι τὰς μερίδας ἐν τῷ κάτωθεν μέρει τοῦ ἁγίου ἄρτου, ὥσπερ καὶ ὁ ἱερεύς.}

Καὶ λαβὼν τὴν μοῦσαν συλλέγει τὰς ἐν τῷ ἁγίῳ δίσκῳ μερίδας ὑποκάτω τοῦ ἁγίου ἄρτου, ὥστε κεῖσθαι ἐν ἀσφαλείᾳ καὶ μὴ ἐκπεσεῖν τι.

Εἶτα[40] λαβὼν τὸ θυμιατήριον καὶ θυμίαμα βαλὼν ἐν αὐτῷ, λέγει πρὸς τὸν ἱερέα· Εὐλόγησον, δέσποτα, τὸ θυμίαμα. [{Καὶ εὐθὺς ὁ αὐτός·}] Τοῦ Κυρίου δεηθῶμεν. Καὶ ὁ ἱερεὺς τὴν εὐχὴν {τοῦ θυμιάματος}· Θυμίαμά σοι προσφέρομεν, Χριστέ, ὁ Θεὸς ἡμῶν, εἰς ὀσμὴν εὐωδίας, ὃ προσδεξάμενος εἰς τὸ ὑπερουράνιόν σου θυσιαστήριον, ἀντικατάπεμψον ἡμῖν τὴν χάριν τοῦ παναγίου σου Πνεύματος[41].

Ὁ διάκονος· Τοῦ Κυρίου δεηθῶμεν. Καὶ ὁ ἱερεύς, θυμιάσας τὸν ἀστερίσκον, τίθησιν αὐτὸν ἐπάνω τοῦ ἁγίου ἄρτου λέγων· Καὶ ἐλθὼν ὁ ἀστήρ, ἔστη ἐπάνω οὗ ἦν τὸ παιδίον. Ὁ διάκονος· Τοῦ Κυρίου δεηθῶμεν. Ὁ ἱερεὺς θυμιῶν τὸ πρῶτον κάλυμμα, σκεπάζει τὸν ἅγιον δίσκον λέγων· Ὁ Κύριος ἐβασίλευσεν, {εὐπρέπειαν [ἐνεδύσατο]}... ἕως τέλους[42]. Ὁ διάκονος· Τοῦ Κυρίου δεηθῶμεν. Κάλυψον, δέσποτα. Καὶ ὁ ἱερεὺς θυμιῶν τὸ δεύτερον κάλυμμα, σκεπάζει τὸ ἅγιον ποτήριον λέγων· Ἐκάλυψεν οὐρανοὺς ἡ ἀρετή σου, Χριστέ, {καὶ τῆς συνέ

[36] *V.480* στὸ περιθώριο· ε΄ μερίδα.

[37] *V.984, El.22* προσθέτουν· καί.

[38] *V.480*· Σημείωσαι.

[39] *V.480* στὸ περιθώριο· Ὁ διάκονος.

[40] *El.22*· Ὁ δὲ διάκονος.

[41] *V.480* στὸ περιθώριο· Εὐχή.

[42] *El.22*· ἕως τοῦ· καὶ περιεζώσατο.

φ. 310 r

σεώς σου πλήρης ἡ γῆ}. Ὁ διάκονος· Τοῦ Κυρίου δεηθῶμεν. Σκέπασον, δέσποτα. Ὁ ἱερεὺς θυμιῶν [τὸ τρίτον κάλυμμα, ἤτοι] τὸν ἀέρα, σκεπάζει καὶ ἀμφότερα ἐπιλέγων· Σκέπασον ἡμᾶς ἐν τῇ σκέπῃ τῶν πτερύγων σου, {ἀποδίωξον ἀφ᾽ ἡμῶν πάντα ἐχθρὸν καὶ πολέμιον, εἰρήνευσον ἡμῶν τὴν ζωήν, Κύριε· ἐλέησον ἡμᾶς καὶ τὸν κόσμον σου καὶ σῶσον τὰς ψυχὰς ἡμῶν ὡς ἀγαθὸς καὶ φιλάνθρωπος}. Εἶτα δήσαντες ἀμφότεροι τὰς ἑαυτῶν χεῖρας καὶ προσκυνήσαντες εὐλαβῶς, λέγουσιν[43]· Εὐλογητὸς ὁ Θεὸς ὁ οὕτως εὐδοκήσας, πάντοτε νῦν καὶ {ἀεὶ [καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν]}. {Εἶτα} ὁ διάκονος· Τοῦ Κυρίου δεηθῶμεν[44]. {Καὶ} ὁ ἱερεὺς τὴν εὐχὴν τῆς προθέσεως· [{Ὁ Θεός, ὁ Θεὸς ἡμῶν, ὁ τὸν οὐράνιον...}] Καὶ μετὰ τοῦτο θυμιάσας αὐτὸς ὁ ἱερεὺς τὴν πρόθεσιν, ποιεῖ καὶ ἀπόλυσιν ἐκεῖσε[45].

Καὶ οὕτω λαμβάνων ὁ διάκονος τὸν θυμιατόν, ἀπέρχεται καὶ θυμιᾷ τὴν ἁγίαν τράπεζαν κύκλῳ σταυροειδῶς, λέγων καθ᾽ ἑαυτὸν καὶ [τὸ τροπάριον] τό· Ἐν τάφῳ σωματικῶς...[46], καὶ μετὰ τοῦτο τὸν πεντηκοστόν. Ἐν ᾧ καὶ θυμιάσας τό τε ἱερατεῖον ὅλον καὶ τὸν ναόν, εἰσέρχεται αὖθις ἐν τῷ ἁγίῳ βήματι[47]. Καὶ θυμιάσας αὖθις τὴν[48] ἁγίαν τράπεζαν καὶ τὸν ἱερέα, τὸν μὲν θυμιατὸν ἀποτίθησιν[49] ἐν τῷ ἰδίῳ τόπῳ, αὐτὸς δὲ προσέρχεται τῷ ἱερεῖ. Καὶ στάντες ὁμοῦ πρὸ τῆς ἁγίας τραπέζης, προσκυνοῦσιν ἐκ τρίτου, καθ᾽ ἑαυτοὺς εὐχόμενοι καὶ λέγοντες τό· Βασιλεῦ οὐράνιε... ἢ τό· Δόξα ἐν ὑψίστοις Θεῷ... δίς, καὶ τό· Κύριε, τὰ χείλη μου ἀνοίξεις... ἅπαξ. Εἶτα ἀσπάζονται ὁ μὲν ἱερεὺς τὸ ἅγιον Εὐαγγέλιον, ὁ δὲ διάκονος τὴν ἁγίαν τράπεζαν.

Καὶ μετὰ τοῦτο, ὑποκλίνας ὁ διάκονος τὴν ἑαυτοῦ κεφαλὴν τῷ ἱερεῖ, κρατῶν καὶ τὸ ὠράριον[50] τοῖς τρισὶ δακτύλοις τῆς δεξιᾶς χειρός, λέγει· Καιρὸς τοῦ ποιῆσαι τῷ Κυρίῳ· δέσποτα, εὐλόγησον. Καὶ ὁ ἱερεὺς σφραγίζων αὐτὸν λέγει· Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε, {νῦν καὶ}... Εἶτα ὁ διάκονος· Εὖξαι ὑπὲρ ἐμοῦ, δέσποτα. Καὶ ὁ ἱερεὺς {αὖθις}· Κατευθύναι Κύριος ὁ Θεὸς τὰ διαβήματά σου. Καὶ πάλιν ὁ διάκονος· Μνήσθητί μου,

[43] V.480· Σημείωσαι.

[44] El.22· Ἐπὶ τῇ προθέσει τῶν τιμίων δώρων τοῦ Κυρίου δεηθῶμεν.

[45] V.984, El.22· αὐτόθι.

[46] V.984 προσθέτει· Ὡς ζωηφόρος...

[47] El.22· εἰς τὸ ἅγιον βῆμα.

[48] V.984, El.22 προσθέτουν· τε.

[49] V.984, El.22· ἀποτίθεται.

[50] V.984 προσθέτει· ἑαυτοῦ.

φ. 310 v

δέσποτα ἅγιε. Καὶ ὁ ἱερεύς· Μνησθείη σου Κύριος ὁ Θεὸς ἐν τῇ βασιλείᾳ αὐτοῦ. Καὶ ὁ διάκονος εἰπὼν τὸ Ἀμήν, καὶ προσκυνήσας, ἐξέρχεται καὶ στὰς ἐν τῷ συνήθει τόπῳ κατέναντι τῶν ἁγίων θυρῶν[51], προσκυνεῖ μετ᾽ εὐλαβείας τρίτον, λέγων καθ᾽ ἑαυτὸν {καὶ} τό· Κύριε, τὰ χείλη μου ἀνοίξεις... Καὶ μετὰ τοῦτο ἄρχεται[52]· Εὐλόγησον, δέσποτα[53].

Ὁ ἱερεύς· Εὐλογημένη {ἡ βασιλεία τοῦ Πατρὸς καὶ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας [τῶν αἰώνων]}.

Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν. Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης καὶ τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν τοῦ Κυρίου {δεηθῶμεν}. Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, εὐσταθείας τῶν ἁγίων τοῦ Θεοῦ ἐκκλησιῶν καὶ τῆς τῶν πάντων ἑνώσεως τοῦ Κυρίου δεηθῶμεν. Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου καὶ τῶν μετὰ πίστεως, εὐλαβείας καὶ φόβου Θεοῦ εἰσιόντων ἐν αὐτῷ τοῦ Κυρίου {δεηθῶμεν}. Ὑπὲρ τοῦ ἐπισκόπου[54] ἡμῶν, τοῦ τιμίου πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας, παντὸς τοῦ κλήρου καὶ τοῦ λαοῦ τοῦ Κυρίου δεηθῶμεν. Ὑπὲρ τῶν εὐσεβεστάτων καὶ θεοφυλάκτων βασιλέων ἡμῶν, παντὸς τοῦ παλατίου καὶ τοῦ στρατοπέδου αὐτῶν τοῦ Κυρίου δεηθῶμεν. Ὑπὲρ τοῦ συμπολεμῆσαι καὶ ὑποτάξαι ὑπὸ τοὺς πόδας αὐτῶν πάντα ἐχθρὸν καὶ πολέμιον τοῦ Κυρίου {δεηθῶμεν}. Ὑπὲρ τῆς ἁγίας μονῆς ταύτης· πάσης πόλεως, χώρας καὶ τῶν πίστει οἰκούντων ἐν αὐταῖς τοῦ Κυρίου δεηθῶμεν. Ὑπὲρ εὐκρασίας ἀέρων, εὐφορίας τῶν καρπῶν τῆς γῆς καὶ καιρῶν εἰρηνικῶν τοῦ Κυρίου δεηθῶμεν. Ὑπὲρ πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων καὶ τῆς σωτηρίας αὐτῶν τοῦ {Κυρίου δεηθῶμεν}. Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς καὶ ἀνάγκης τοῦ Κυρίου δεηθῶμεν. Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι. Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα. Ὁ ἱερεὺς [τὴν ἐκφώνησιν]· Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσ

[51] V.984· θυρίων.

[52] El.22 προσθέτει· οὕτως.

[53] V.480 στὸ περιθώριο· Ἀρχὴ τῆς λειτουργίας καὶ τῶν διακονικῶν.

[54] V.984, El.22· ἀρχιεπισκόπου.

φ. 311 r

κύνησις, [τῷ {Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν}]...

Τούτου δὲ λεγομένου παρὰ τοῦ ἱερέως[55], ὁ διάκονος ποιήσας προσκύνημα κατέναντι τοῦ ἁγίου θυσιαστηρίου, μεθίσταται τοῦ τόπου αὐτοῦ, καὶ ἀπελθὼν ἐν τῷ δεξιῷ μέρει, ἵσταται πρὸ τῶν ἁγίων εἰκόνων, προσμένων τὴν τοῦ ἀντιφώνου ἐκπλήρωσιν. Ὡσαύτως δὲ ὀφείλει ποιεῖν καὶ καθ᾽ ἕκαστον ἀντίφωνον. Πληρωθέντος οὖν τοῦ πρώτου ἀντιφώνου, εἰσέρχεται πάλιν ἐν τῷ συνήθει τόπῳ καὶ ποιήσας προσκύνημα, αὖθις λέγει· Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ {τοῦ [Κυρίου δεηθῶμεν]}. Ἀντιλαβοῦ, [σῶσον, {ἐλέησον}]... Τῆς παναγίας, ἀ[χράντου]... Ὁ ἱερεὺς [τὴν ἐκφώνησιν]· Ὅτι σὸν τὸ κράτος {καὶ [σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις]}...

Μετὰ τὸ δεύτερον ἀντίφωνον [{ὁ διάκονος}][56]· Ἔτι καὶ ἔτι {ἐν εἰρήνῃ}... Ἀντιλαβοῦ, [{σῶσον}] ... Τῆς παναγίας, [{ἀχράντου}] ... {Ὁ ἱερεύς·} Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος...

Ὁ δὲ διάκονος ποιήσας προσκύνησιν, ὡς εἴπομεν, εἰσέρχεται ἐντὸς τοῦ ἁγίου βήματος καὶ ἵσταται ἐκεῖ[57], ψαλλομένων τῶν μακαρισμῶν. Ὅτε δὲ ἔλθωσιν οἱ ψάλλοντες εἰς τὸ Δόξα..., ἔρχονται ὅ τε ἱερεὺς καὶ ὁ διάκονος ἔμπροσθεν τῆς ἁγίας τραπέζης καὶ ποιοῦσι προσκύνησιν ὁμοῦ. Εἶτα λαβὼν ὁ ἱερεὺς τὸ ἅγιον Εὐαγγέλιον[58], δίδωσι τῷ διακόνῳ, καὶ οὕτως ἐξελθόντες διὰ τοῦ βορείου μέρους, ποιοῦσι τὴν μικρὰν εἴσοδον. Ἐλθόντες[59] δὲ καὶ σταθέντες[60] ἐν τῷ συνήθει τόπῳ, κλίνουσιν ἀμφότεροι τὰς κεφαλάς. Καὶ τοῦ διακόνου εἰπόντος ἠρέμα· Τοῦ Κυρίου δεηθῶμεν, ἅμα[61] καὶ τὸ ὠράριον κρατοῦντος τοῖς τρισὶ δακτύλοις τῆς δεξιᾶς, λέγει ὁ ἱερεὺς τὴν εὐχὴν τῆς εἰσόδου μυστικῶς. Ταύτης[62] δὲ τελεσθείσης, λέγει ὁ διάκονος πρὸς τὸν ἱερέα· Εὐλόγησον, δέσποτα, τὴν ἁγίαν εἴσοδον, δεικνύων ἅμα καὶ πρὸς ἀνατολὰς μετὰ τοῦ ὠραρίου, οὕτως ὡς κρατεῖ αὐτό. Καὶ ὁ ἱερεὺς ποιῶν κατὰ ἀνατολὰς σταυρὸν λέγει· Εὐλογημένη ἡ εἴσοδος τῶν ἁγίων σου, Κύριε, πάντοτε {νῦν καὶ ἀεὶ...} Εἶτα ὁ διάκονος ἀπέρχεται πρὸς τὸν προεστῶτα, καὶ ἀσπάζεται ἐκεῖνος τὸ ἅγιον Εὐαγγέλιον (εἰ πάρεστι δηλονότι), εἰ δ᾽ οὔ[ν], ἀσπάζεται αὐτὸ ὁ ἱερεύς. Τοῦ τροπαρίου δὲ τοῦ τελευταίου πληρωθέντος {παρὰ τῶν ψαλλόντων},

[55] *V.480* στὸ περιθώριο· α´ ἀντίφωνον.

[56] *V.480* στὸ περιθώριο· β´ ἀντίφωνον. *EI.22*· Πάλιν.

[57] *V.984, EI.22*· αὐτόθι.

[58] *V.480*· Σημείωσαι.

[59] *V.480* στὸ περιθώριο· Ἡ μικρὰ εἴσοδος.

[60] *EI.22*· στάντες.

[61] *EI.22* προσθέτει· δέ.

[62] *EI.22*· αὐτῆς.

φ. 311v

εἰσέρχεται ὁ διάκονος ἐν τῷ μέσῳ[63] καὶ σταθεὶς[64] ἔμπροσθεν τοῦ ἱερέως, ἀνυψοῖ τὰς χεῖρας μικρὸν καὶ δεικνύων τὸ ἅγιον Εὐαγγέλιον λέγει· Σοφία· ὀρθοί. Εἶτα προσκυνήσας αὐτός τε καὶ ὁ ἱερεὺς κατόπιν αὐτοῦ, εἰσέρχονται ἐν τῷ ἁγίῳ βήματι[65]. Καὶ ὁ μὲν ἀποτίθησι τὸ ἅγιον Εὐαγγέλιον ἐν τῇ ἁγίᾳ τραπέζῃ, οἱ δὲ ψάλλοντες λέγουσι τὰ συνήθη τροπάρια.

Καὶ ὅταν ἔλθωσιν εἰς τὸ ὕστερον, λέγει ὁ διάκονος πρὸς τὸν ἱερέα, κλίνων [{ἅμα}] τὴν ἑαυτοῦ κεφαλὴν καὶ τὸ ὠράριον {ἐν τῇ χειρὶ} κρατῶν, ὡς πολλάκις εἴπομεν· Εὐλόγησον, δέσποτα, τὸν καιρὸν τοῦ τρισαγίου. Ὁ δὲ ἱερεὺς σφραγίζων αὐτὸν λέγει· ~~Ὅτι ἅγιος εἶ, ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι νῦν καὶ ἀεί·~~ [{Εὐλογητὸς ὁ Θεός, ἐν τρισαγίῳ φωνῇ ἀνυμνούμενος, πάντοτε...}][66]. Τοῦ δὲ τροπαρίου πληρωθέντος, ἐλθὼν ὁ διάκονος ἐγγὺς τῶν ἁγίων θυρίων[67], δείκνυσι τὸ ὠράριον αὐτοῦ τοῖς ἐκτὸς λέγων [{ἠρέμα}] · Καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ψαλλόντων δὲ τῶν ἔξω τὸ τρισάγιον, ὁ διάκονος ἵσταται πλησίον τοῦ ἱερέως τὴν εὐχὴν λέγοντος. Τελεσθείσης δὲ τῆς εὐχῆς, ὅταν ἀκούσωσι τοὺς ψάλλοντας λέγοντας τὸ Δόξα... Καὶ νῦν..., λέγουσι καὶ αὐτοὶ τό· {Ἅγιος ὁ Θεός, [ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς]}[68], ἐκ τρίτου, ποιοῦντες ὁμοῦ καὶ προσκυνήματα τρία ἔμπροσθεν τῆς ἁγίας τραπέζης.

Εἶτα λέγει ὁ διάκονος πρὸς τὸν ἱερέα· Κέλευσον, δέσποτα. Καὶ ἀπέρχονται ἐν τῇ καθέδρᾳ. Λέγει δὲ ὁ ἱερεὺς ἀπερχόμενος {τό}· Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου. Καὶ πάλιν ὁ διάκονος· Εὐλόγησον, δέσποτα, τὴν ἄνω καθέδραν. Καὶ ὁ ἱερεύς· Εὐλογημένος εἶ ὁ ἐπὶ θρόνου δόξης τῆς βασιλείας σου καθήμενος, πάντοτε νῦν {καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων}.

Καὶ μετὰ τὴν συμπλήρωσιν τοῦ τρισαγίου λέγει ὁ διάκονος· Πρόσχωμεν. Ὁ ἱερεύς· Εἰρήνη πᾶσιν. Ὁ διάκονος· Σοφία. Ὁ ἀναγνώστης· Ψαλμὸς τῷ Δαβίδ. Καὶ ὁ διάκονος αὖθις· Πρόσχωμεν. Ὁ ἀναγνώστης τὸ προκείμενον τοῦ ἀποστόλου. Ὁ διάκονος· Σοφία. Ὁ ἀναγνώστης τὴν ἐπιγραφὴν τοῦ ἀποστόλου. Καὶ ὁ διάκονος [αὖθις]· Πρόσχωμεν. Τοῦ δὲ ἀποστόλου πληρωθέντος, ἐκφωνεῖ

[63] *EI.22*· εἰς τὸ μέσον.

[64] *EI.22*· στάς.

[65] *EI.22*· εἰς τὸ ἅγιον βῆμα.

[66] *V.480* στὸ περιθώριο· Σημείωσις· Διὰ τὸ εἶναι τὸ Ὅτι ἅγιος εἶ, ὁ Θεὸς ἡμῶν... εἰς τὸ τῆς εὐχῆς τέλος, οὐ λέγεται τοῦτο εἰς τὸν καιρὸν τοῦ τρισαγίου, ἀλλὰ τό· Εὐλογητὸς ὁ Θεὸς ἡμῶν (sic), ὁ ἐν τρισαγίῳ...
Τὸ *V.984* ἀντ᾽ αὐτῶν ἔχει· Ὅτι ἅγιος εἶ, ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι νῦν καὶ ἀεί·
Στὸ περιθώριο· ἤ· Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, ὁ ἐν τρισαγίοις ὕμνοις δοξαζόμενος, πάντοτε νῦν καὶ ἀεί.
Καὶ τὸ *EI.22* ἔχει ὡς ἑξῆς· Ὅτι ἅγιος εἶ, ὁ Θεὸς ἡμῶν...

[67] *EI.22*· θυρίδων.

[68] *EI.22*· τὸ τρισάγιον.

φ. 312r

ὁ ἱερεύς· Εἰρήνη σοι. *Ὁ διάκονος·* Σοφία. *Ὁ ψάλτης·* Ἀλληλούϊα. Ψαλμὸς τῷ Δαβίδ. *Ὁ διάκονος·* Πρόσχωμεν. *Καὶ ψάλλεται τὸ ἀλληλούϊα.*

Τούτου δὲ ψαλλομένου, ἢ καὶ πρὸ τούτου, λεγομένου ἔτι τοῦ ἀποστόλου, λαβὼν ὁ διάκονος τὸ θυμιατήριον μετὰ θυμιάματος, πρόσεισι τῷ ἱερεῖ λέγων· Εὐλόγησον, δέσποτα, τὸ θυμίαμα. *Τοῦ δὲ συνήθως εὐλογήσαντος καὶ τὴν εὐχὴν ἐπειπόντος, θυμιᾷ τὴν ἁγίαν τράπεζαν γύροθεν[69], εἶτα τὸ ἱερατεῖον ὅλον καὶ τὸν ἱερέα. Καὶ μετὰ τοῦτο, τὸν θυμιατὸν ἀποθέμενος, ἔρχεται πρὸς τὸν ἱερέα καὶ ὑποκλίνας αὐτῷ τὴν κεφαλήν, κρατῶν καὶ τὸ ὠράριον, {ὡς πολλάκις εἴπομεν,} λέγει·* {Εὐλόγησον, δέσποτα, τὸν εὐαγγελιστὴν τοῦ ἁγίου ἀποστόλου καὶ εὐαγγελιστοῦ *τοῦδε*}[70]. *Ὁ δὲ ἱερεὺς σφραγίζων αὐτὸν λέγει*[71]*·* {Ὁ Θεός, διὰ πρεσβειῶν τοῦ ἁγίου ἀποστόλου καὶ εὐαγγελιστοῦ *τοῦδε*, δῴη σοι ῥῆμα τῷ εὐαγγελιζομένῳ δυνάμει πολλῇ εἰς ἐκπλήρωσιν τοῦ Εὐαγγελίου τοῦ ἀγαπητοῦ Υἱοῦ αὐτοῦ, τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, τῇ αὐτοῦ φιλανθρωπίᾳ καὶ χάριτι}[72]. *Καὶ ὁ διάκονος εἰπὼν τὸ* Ἀμήν, *καὶ προσκυνήσας αὐτῷ, ἀπέρχεται. Καὶ στὰς ἔμπροσθεν τῆς ἁγίας τραπέζης καὶ προσκυνήσας [μετ' εὐλαβείας], αἴρει τὸ {ἅγιον} Εὐαγγέλιον. Καὶ ἐξελθὼν διὰ τῶν ἁγίων θυρῶν, ἀπέρχεται καὶ ἵσταται ἐν τῷ τεταγμένῳ τόπῳ, προπορευομένων δηλονότι τῶν μανουαλίων. Ὁ δὲ ἱερεύς, ἱστάμενος ὄπισθεν τῆς ἁγίας τραπέζης, εἴπερ ἔχει τόπον, εἰ δὲ μή, ἔμπροσθεν, καὶ βλέπων πρὸς δυσμάς, ἐκφωνεῖ·* Σοφία· ὀρθοί[{ἢ}], ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου. *Καὶ ὁ διάκονος·* Ἐκ τοῦ κατὰ *τόνδε* ἁγίου Εὐαγγελίου τὸ ἀνάγνωσμα. *Καὶ ὁ ἱερεὺς [αὖθις]·* Πρόσχωμεν. *Εἰ δὲ συλλειτουργεῖ καὶ ἕτερος διάκονος, ἐκφωνεῖ ἐκεῖνος ἀντὶ τοῦ ἱερέως ἔνδοθεν*[73] *τοῦ βήματος καὶ τό·* Σοφία· ὀρθοί, {ἀκούσωμεν...} *καὶ τό·* Πρόσχωμεν. *Τοῦ δὲ Εὐαγγελίου πληρωθέντος, λέγει ὁ ἱερεὺς πρὸς τὸν διάκονον·* Εἰρήνη σοι. *Ὁ μέντοι διάκονος ἐλθὼν ἕως τῶν ἁγίων θυρῶν, ἀποδίδωσι τῷ ἱερεῖ τὸ ἅγιον Εὐαγγέλιον.*

Εἶτα σταθεὶς[74] *ἐν τῷ συνήθει τόπῳ, ἄρχεται οὕτως·* Εἴπωμεν πάντες. Ἐξ ὅλης τῆς ψυχῆς καὶ ἐξ ὅλης τῆς διανοίας[75] εἴπωμεν.

[69] *ΕΙ.22·* γύρωθεν.

[70] *ΕΙ.22·* Εὐλόγησον, δέσποτα, τὸν εὐαγγελιστὴν τοῦδε τοῦ ἀποστόλου καὶ εὐαγγελιστοῦ.

[71] *V.480* στὸ περιθώριο· Εὐχή.

[72] *ΕΙ.22·* Ὁ Θεός, διὰ πρεσβειῶν τοῦ ἁγίου ἀποστόλου καὶ εὐαγγελιστοῦ τοῦδε δῴη σοι ῥῆμα εἰς τὸ εὐαγγελίσασθαι δυνάμει πολλῇ.

[73] *ΕΙ.22·* ἔσωθεν.

[74] *ΕΙ.22·* στάς.

[75] *V.984, ΕΙ.22* προσθέτουν· ἡμῶν.

φ. 312 v

Κύριε παντοκράτορ, ὁ Θεὸς τῶν πατέρων ἡμῶν, δεόμεθά σου: Ἐπάκουσον καὶ ἐλέησον. Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου[76]: Ἐπάκουσον καὶ ἐλέησον. *Τούτων δὲ λεγομένων, λέγει ὁ ἱερεὺς τὴν εὐχὴν τῆς ἐκτενοῦς ἱκεσίας. Ὁ δὲ διάκονος συνάπτει ἀδιαστάτως*[77]*·* Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβεστάτων καὶ θεοφυλάκτων βασιλέων ἡμῶν, κράτους, νίκης, διαμονῆς, εἰρήνης, ὑγείας, σωτηρίας αὐτῶν, καὶ τοῦ Κύριον τὸν Θεὸν ἡμῶν ἐπιπλέον συνεργῆσαι, κατευδῶσαι αὐτοὺς ἐν πᾶσι καὶ ὑποτάξαι ὑπὸ τοὺς πόδας αὐτῶν πάντα ἐχθρὸν καὶ πολέμιον.

[{Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβεστάτων καὶ φιλοχρίστων βασιλέων ἡμῶν Ἀνδρονίκου καὶ Ἄννης. Ἔτι δεόμεθα ὑπὲρ τοῦ εὐσεβεστάτου καὶ φιλοχρίστου βασιλέως ἡμῶν Ἰωάννου}][78].

Ἔτι δεόμεθα ὑπὲρ ἀφέσεως ἁμαρτιῶν τοῦ δούλου τοῦ Θεοῦ[79] *τοῦδε* ἱερομονάχου καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

{Ἔτι δεόμεθα} καὶ ὑπὲρ πάντων τῶν διακονούντων καὶ διακονησάντων ἐν τῇ ἁγίᾳ μονῇ ταύτῃ.

Ὁ ἱερεύς [τὴν ἐκφώνησιν]· Ὅτι ἐλεήμων [καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις]...

Ὁ διάκονος· Εὔξασθε, οἱ κατηχούμενοι, τῷ Κυρίῳ. Οἱ πιστοί, ὑπὲρ τῶν κατηχουμένων δεηθῶμεν, ἵνα ὁ Κύριος αὐτοὺς ἐλεήσοι[80]. Κατηχήσοι[81] αὐτοὺς τὸν λόγον τῆς ἀληθείας. Ἀποκαλύψοι[82] αὐτοῖς τὸ εὐαγγέλιον τῆς δικαιοσύνης. Ἑνώσοι[83] αὐτοὺς τῇ ἁγίᾳ αὐτοῦ καθολικῇ καὶ ἀποστολικῇ Ἐκκλησίᾳ. Σῶσον, ἐλέησον, ἀντιλαβοῦ καὶ διαφύλαξον αὐτούς, ὁ Θεός, τῇ σῇ χάριτι. Οἱ κατηχούμενοι, τὰς κεφαλὰς ὑμῶν τῷ Κυρίῳ κλίνατε. *Ὁ ἱερεὺς [{τὴν ἐκφώνησιν}]·* Ἵνα καὶ αὐτοὶ σὺν ἡμῖν δοξάζωσι [{τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων}].

Ὁ διάκονος· Ὅσοι κατηχούμενοι, προέλθετε· οἱ κατηχούμενοι, προέλθετε· ὅσοι κατηχούμενοι, προέλθετε· μή τις τῶν κατηχουμένων· ὅσοι πιστοί, ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

{*Εἰ δὲ εἰσὶ δύο διάκονοι, λέγουσι τοῦτο ἀμοιβαδόν· οἷον ὁ μὲν ἔξω·* Ὅσοι κατηχούμενοι, προέλθετε. *Ὁ δὲ ἔσω·* Οἱ κατηχούμενοι, προέλθετε. *Καὶ αὖθις ὁ μὲν ἔξω·* Ὅσοι κατηχούμενοι, προέλθετε. *Ὁ δὲ ἔσω·* Μή τις τῶν κατηχουμένων. *Καὶ εὐθὺς πάλιν ὁ ἐκτός·* Ὅσοι πιστοί, ἔτι καὶ ἔτι

[76] *ΕΙ.22* προσθέτει· Κύριε.

[77] Στὸ *ΕΙ.22* αὐτὲς οἱ δύο προτάσεις βρίσκονται μετὰ τό· Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβεστάτων...

[78] Ἀντ' αὐτῆς τῆς παραγράφου στὸ *V.984·* Ἔτι δεόμεθα ὑπὲρ τῆς εὐσεβεστάτης καὶ φιλοχρίστου δεσποίνης ἡμῶν Ἄννης. Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβεστάτων καὶ φιλοχρίστων βασιλέων ἡμῶν Ἰωάννου καὶ Ἑλένης.
Στὸ *ΕΙ.22·* Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβεστάτων καὶ φιλοχρίστων βασιλέων ἡμῶν τῶνδε. Ἔτι δεόμεθα ὑπὲρ τοῦ ἀρχιεπισκόπου ἡμῶν τοῦδε. Ἔτι δεόμεθα ὑπὲρ τῶν ἀοιδήμων καὶ μακαρίων κτητόρων ἡμῶν.

[79] *ΕΙ.22* προσθέτει· καὶ πατρὸς ἡμῶν.

[80] *ΕΙ.22·* ἐλεήσῃ.

[81] *V.984·* Κατηχήσοι[αι]. *ΕΙ.22·* Κατηχήσῃ.

[82] *V.984·* Ἀποκαλύψοι[αι]. *ΕΙ.22·* Ἀποκαλύψῃ.

[83] *V.984·* Ἑνώσοι[αι]. *ΕΙ.22·* Ἑνώσῃ.

φ. 313 r

ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.}

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης καὶ τῆς [σωτηρίας τῶν ψυχῶν ἡμῶν τοῦ {Κυρίου δεηθῶμεν}]. Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος [κόσμου, εὐσταθείας τῶν ἁγίων {τοῦ Θεοῦ ἐκκλησιῶν καὶ τῆς τῶν πάντων ἑνώσεως τοῦ Κυρίου δεηθῶμεν}]. Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου καὶ τῶν μετὰ πίστεως, [εὐλαβείας καὶ φόβου {Θεοῦ εἰσιόντων ἐν αὐτῷ τοῦ Κυρίου δεηθῶμεν}]. Ταῦτα δὲ λέγων ὁ διάκονος, βλέπει πρὸς τὸν ἱερέα καὶ ἡνίκα καταλάβῃ ὅτι ἐπλήρωσε{ν ἐκεῖνος} τὴν εὐχήν, εὐθέως λέγει· Σοφία. Ὁ δὲ ἱερεύς· Ὅτι πρέπει σοι πᾶσα δόξα...

Καὶ ὁ διάκονος αὖθις· Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ [{τοῦ Κυρίου δεηθῶμεν}]. Ὑπὲρ τῆς ἁγίας μονῆς ταύτης· [πάσης πόλεως, χώρας καὶ τῶν {πίστει οἰκούντων ἐν αὐταῖς τοῦ Κυρίου δεηθῶμεν}]. Ὑπὲρ εὐκρασίας ἀέρων, [εὐφορίας τῶν καρπῶν τῆς {γῆς καὶ καιρῶν εἰρηνικῶν τοῦ Κυρίου δεηθῶμεν}]. Ὑπὲρ πλεόντων, [ὁδοιπορούντων, νοσούντων, {καμνόντων, αἰχμαλώτων καὶ τῆς σωτηρίας αὐτῶν τοῦ Κυρίου δεηθῶμεν}]. Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς [ἀπὸ πάσης θλίψεως, ὀργῆς {καὶ ἀνάγκης τοῦ Κυρίου δεηθῶμεν]. Ἀντιλαβοῦ, σῶσον, [ἐλέησον]}... Ταῦτα δὲ λέγων, βλέπει πάλιν πρὸς τὸν ἱερέα, καὶ ἡνίκα αἴσθηται αὐτοῦ πληρώσαντος τὴν εὐχήν, {ὅπου τύχῃ} εὐθέως λέγει· Σοφία. Καὶ ὁ ἱερεὺς [{τὴν ἐκφώνησιν}]· Ὅπως ὑπὸ τοῦ κράτους [{σου πάντοτε φυλαττόμενοι, σοὶ δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ}]...

Τοῦ δὲ χερουβικοῦ ψαλλομένου[84], εἰσέρχεται ὁ διάκονος ἐν τῷ ἁγίῳ βήματι[85], καὶ λαβὼν τὸν θυμιατὸν μετὰ θυμιάματος, καὶ προσελθὼν τῷ ἱερεῖ καὶ λαβὼν συνήθως τὴν ἐπὶ τῷ θυμιάματι εὐλογίαν, θυμιᾷ τήν τε ἁγίαν τράπεζαν σταυροειδῶς κύκλοθεν[86], τὸ ἱερατεῖον ὅλον καὶ τὸν ἱερέα. Καὶ μετὰ τοῦτο, ἵσταται ἐξ ἀριστερῶν αὐτοῦ [μετὰ πάσης εὐλαβείας], προσμένων τὴν συμπλήρωσιν τῆς εὐχῆς. Ταύτης δὲ πληρωθείσης, συστάντες {ἄμφω εὔχονται ὁμοῦ}[87], τὸ χερουβικὸν λέγοντες καθ' ἑαυτοὺς καὶ τρὶς ἐν τῷ λέγειν αὐτὸ προσκυνοῦντες.

{Εἶτα} ἀπέρχονται ἐν τῇ προθέσει, προπορευομένου τοῦ διακόνου μετὰ τοῦ θυμιατοῦ, ὃς καὶ θυμιάσας τὰ ἅγια, καθ' ἑαυτὸν εὐχόμενος τό· Ὁ Θεός, ἱλάσθητί μοι τῷ {ἁμαρτωλῷ}, λέγει

φ. 313v

[84] *V.480* στὸ περιθώριο· Ἡ μεγάλη εἴσοδος.

[85] *EI.22*· εἰς τὸ ἅγιον βῆμα.

[86] *EI.22*· κύκλῳ.

[87] *EI.22*· συστάντες ὁμοῦ εὔχονται.

[88] *EI.22*· τίθησιν ἐπάνω τῆς κορυφῆς τοῦ διακόνου.

[89] *EI.22*· Μνησθείη Κύριος ὁ Θεὸς πάντων ὑμῶν ἐν τῇ βασιλείᾳ αὐτοῦ.

πρὸς τὸν ἱερέα· Ἔπαρον, δέσποτα. Καὶ ὁ ἱερεὺς ἄρας τὸν ἀέρα, ἐπιτίθησι τῷ ἀριστερῷ ὤμῳ τοῦ διακόνου λέγων· Ἐπάρατε τὰς χεῖρας ὑμῶν εἰς τὰ ἅγια {καὶ εὐλογεῖτε τὸν Κύριον}. Εἶτα καὶ τὸν ἅγιον δίσκον ἄρας, {ἐπιτίθησι καὶ αὐτὸν τῇ τοῦ διακόνου κορυφῇ}[88], συνεφαπτομένου καὶ αὐτοῦ [μετὰ φόβου καὶ πάσης προσοχῆς καὶ ἀσφαλείας]. Αὐτὸς δὲ ὁ ἱερεὺς αἴρει τὸ ἅγιον ποτήριον μόνον. Καὶ οὕτω ποιοῦσι τὴν μεγάλην εἴσοδον, προπορευομένου τοῦ διακόνου, κρατοῦντος καὶ τὸν θυμιατὸν σὺν τῷ ἁγίῳ δίσκῳ ἐν ἑνὶ τῶν δακτύλων τῆς δεξιᾶς χειρὸς αὐτοῦ. Διερχόμενοι δὲ τὸν ναόν, εὔχονται καὶ ἀμφότεροι ὑπὲρ πάντων λέγοντες· Μνησθείη {πάντων ὑμῶν Κύριος ὁ Θεὸς}[89] ἐν τῇ βασιλείᾳ αὐτοῦ.

[{Καὶ ὅταν ἔλθωσιν εἰς τὰ ἅγια θύρια, ὁ μὲν ἱερεὺς εἰσέρχεται σχολαιότερον, ὁ δὲ διάκονος προεισελθών, τὸν μὲν ἅγιον δίσκον ἀποτίθεται ἐπὶ τῆς ἁγίας τραπέζης, αὐτὸς δὲ στραφεὶς θυμιᾷ τὸν ἱερέα. Καὶ ὁ μὲν ἱερεὺς εἰσερχόμενος λέγει· ~~Ἄρατε πύλας οἱ ἄρχοντες ὑμῶν καὶ ἐπάρθητε πύλαι αἰώνιοι~~ καὶ εἰσελεύσεται ὁ βασιλεὺς τῆς δόξης. Ὁ δὲ διάκονος λέγει· Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου. Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν. Εἶτα αὐτὸς πάλιν πρὸς τὸν ἱερέα, τὴν κεφαλὴν ὑποκλίνας· Μνήσθητί μου, δέσποτα ἅγιε, τοῦ ἁμαρτωλοῦ. Καὶ ὁ ἱερεύς· Μνησθείη σου Κύριος ὁ Θεὸς ἐν τῇ βασιλείᾳ αὐτοῦ. Εἶτα ἀποτίθεται καὶ αὐτὸς τὸ ἅγιον ποτήριον ἐν τῇ ἱερᾷ τραπέζῃ, ἐπιλέγων καὶ τὸ τροπάριον τόδε· Ὁ εὐσχήμων Ἰωσὴφ... ἕως τοῦ ...κηδεύσας ἀπέθετο[90]}].[91]

Εἶτα τὰ μὲν καλύμματα αἴρει αὐτὸς ὁ ἱερεὺς ἀπὸ τοῦ ἁγίου δίσκου καὶ τοῦ ἱεροῦ[92] ποτηρίου, καὶ μετατίθησιν αὐτά, τὸν δὲ ἀέρα λαβὼν ἀπὸ τῶν ὤμων τοῦ διακόνου καὶ θυμιάσας αὐτόν, ἔτι[93] κρατοῦντος τὸν θυμιατὸν τοῦ διακόνου, σκεπάζει δι' αὐτοῦ τὰ ἅγια. Καὶ μετὰ τοῦτο, λαβὼν αὐτὸς τὸν θυμιατόν, θυμιᾷ τὰ ἅγια τρίτον λέγων οὕτως· Ἀγάθυνον, Κύριε, {ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών}... {καὶ λέγει τοῦτο} ἕως τέλους [τοῦ ψαλμοῦ].

Ἔπειτα τὸν θυμιατὸν ἀποθέμενος[94], συνίστανται ἅμα ἔμπροσθεν τῆς ἁγίας τραπέζης, εὐχόμενοι καθ' ἑαυτοὺς καὶ

φ. 314r

[90] *V.480* στὸ περιθώριο· Τινὲς οὐχ οὕτω ποιοῦσιν, ἀλλ' ὅταν εἰσέλθῃ ὁ διάκονος, ἵσταται κατέχων ἐπὶ κεφαλῆς τὸν ἅγιον δίσκον ὡς εἶχε, καὶ μικρὸν στρεφόμενος πρὸς τὸν ἱερέα. Καὶ οὕτως εἰσελθὼν ὁ ἱερεὺς καὶ ἀποθέμενος τὸ ἅγιον ποτήριον, λαβὼν καὶ τὸν ἅγιον δίσκον ἀπὸ τῆς κεφαλῆς αὐτοῦ, αὐτὸς ἀποτίθησι καὶ αὐτὸν ἐν τῇ ἁγίᾳ τραπέζῃ καὶ οὕτω τὰ ἄλλα ποιεῖ.

[91] Ἀντὶ τῆς παραγράφου αὐτῆς τὸ *V.984* ἔχει ὡς ἑξῆς· Καὶ ὅταν ἔλθωσιν εἰς τὰ ἅγια θύρια, ὁ μὲν ἱερεὺς εἰσέρχεται σχολαιότερον λέγων καὶ τό· Ἄρατε πύλας οἱ ἄρχοντες ὑμῶν καὶ ἐπάρθητε πύλαι αἰώνιοι καὶ εἰσελεύσεται ὁ βασιλεὺς τῆς δόξης. Ὁ δὲ διάκονος προεισελθών, ἵσταται κατέχων ἐπὶ κεφαλῆς τὸν ἅγιον δίσκον ὡς ἔχει, καὶ μικρὸν στρεφόμενος πρὸς τὸν ἱερέα. Καὶ οὕτως εἰσελθὼν ὁ ἱερεὺς καὶ ἀποθέμενος τὸ ἅγιον ποτήριον, λαβὼν καὶ τὸν ἅγιον δίσκον ἀπὸ τῆς κεφαλῆς αὐτοῦ, αὐτὸς ἀποτίθησι καὶ αὐτὸν ἐν τῇ ἁγίᾳ τραπέζῃ, ἐπιλέγων καὶ τὸ τροπάριον τόδε· Ὁ εὐσχήμων Ἰωσήφ... ἕως τοῦ· κηδεύσας ἀπέθετο.
Τὸ δὲ *EI.22* οὕτω· Καὶ εἰσερχόμενοι τὸ ἅγιον βῆμα, λέγουσι καθ' ἑαυτούς· Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου. Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν. Εἶτα ἀποτίθησιν ὁ ἱερεὺς τὸ ἅγιον ποτήριον πρότερον ἐν τῇ ἁγίᾳ τραπέζῃ καὶ μετὰ τοῦτο αἴρει καὶ τὸν ἅγιον δίσκον ἀπὸ τῆς κεφαλῆς τοῦ διακόνου, ἐκ πλαγίου ἑστῶτος, καὶ τίθησι καὶ αὐτὸν ὁμοίως ἐν τῇ ἁγίᾳ τραπέζῃ κατὰ τάξιν, πλησίον τοῦ ἁγίου ποτηρίου, ἐπιλέγων καὶ τὸ τροπάριον τόδε· Ὁ εὐσχήμων Ἰωσὴφ ἕως τοῦ κηδεύσας ἀπέθετο.

[92] *EI.22*· ἁγίου.

[93] *EI.22*· οὕτω.

[94] *EI.22*· ἀποθέμενοι.

ποιοῦντες καὶ προσκυνήσεις μεγάλας τρεῖς. Καὶ ὁ μὲν ἱερεὺς χαλάσας τὸν φελώνην[95] *καὶ τὰς ἑαυτοῦ χεῖρας δεσμήσας ἀλλήλαις, τήν τε κεφαλὴν ὑποκλίνας ἔμπροσθεν τῆς ἱερᾶς τραπέζης, λέγει πρὸς τὸν διάκονον·* Εὖξαι ὑπὲρ ἐμοῦ, δέσποτα[96]. *Ὁ δέ*[97]*, {καὶ αὐτὸς} τὸν αὐχένα κλίνας καὶ πρὸς τὸν ἱερέα βλέπων, λέγει·* Πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σὲ καὶ δύναμις ὑψίστου ἐπισκιάσει σοι. *Καὶ πάλιν αὐτὸς*[98] *πρὸς τὸν ἱερέα·* Μνήσθητί μου, δέσποτα ἅγιε. *Καὶ ὁ ἱερεύς·* Μνησθείη σου Κύριος ὁ Θεὸς ἐν τῇ βασιλείᾳ αὐτοῦ. *Εἶτα ὁ διάκονος εἰπὼν τὸ* Ἀμήν, *καὶ προσκυνήσας καὶ καιρὸν λαβών, ἔξεισι.*

Καὶ στὰς ἐν τῷ συνήθει τόπῳ λέγει[99]· Πληρώσωμεν τὴν δέησιν ἡμῶν τῷ Κυρίῳ. Ὑπὲρ τῶν προτεθέντων τιμίων δώρων τοῦ Κυρίου δεηθῶμεν. Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου [καὶ τῶν μετὰ πίστεως, εὐλαβείας καὶ φόβου Θεοῦ εἰσιόντων ἐν αὐτῷ τοῦ Κυρίου δεηθῶμεν]. Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς [ἀπὸ πάσης θλίψεως, ὀργῆς καὶ {ἀνάγκης τοῦ Κυρίου δεηθῶμεν}]. Ἀντιλαβοῦ, σῶσον, ἐλέησον [καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι]. Τὴν ἡμέραν πᾶσαν τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον παρὰ τοῦ Κυρίου[100] αἰτησώμεθα. Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν, φύλακα τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν παρὰ {τοῦ Κυρίου αἰτησώμεθα}. Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν καὶ τῶν πλημμελημάτων ἡμῶν παρὰ [{τοῦ Κυρίου...}]. Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν καὶ εἰρήνην τῷ κόσμῳ παρὰ[101]... Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐν εἰρήνῃ καὶ μετανοίᾳ ἐκτελέσαι παρὰ {τοῦ Κυρίου αἰ[τησώμεθα]}. Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικὰ καὶ καλὴν ἀπολογίαν τὴν ἐπὶ τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ αἰτησώμεθα. Τῆς παναγίας, ἀ[χράντου], [ὑπερευλογημένης δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας μετὰ][102]... {*Καὶ ὁ ἱερεύς [ἐκφωνεῖ]*}[103]· Διὰ τῶν οἰκτιρμῶν τοῦ μονογενοῦς {σου [Υἱοῦ, μεθ᾽ οὗ εὐλογητὸς]}...

{Εἶτα·} Εἰρήνη πᾶσιν. *Ὁ διάκονος·* Ἀγαπήσωμεν ἀλλήλους[104]. *Καὶ ὁ ἱερεὺς ἔνδον ἱστάμενος, προσκυνεῖ τρίτον, εὐχόμενος καὶ λέγων καθ᾽ ἑαυτόν·* Ἀγαπήσω σε, Κύριε, ἡ ἰσχύς μου. Κύριος στερέωμά μου καὶ καταφυγή μου καὶ ῥύστης μου, *καὶ περιπτύσσεται τὰ ἅγια, οὕτως ὡς εἰσὶ κεκαλυμμένα· πρῶτον ἐπάνω τοῦ ἁγίου δίσκου, εἶτα ἐπάνω τοῦ ἁγίου ποτηρίου, {καὶ μετὰ ταῦτα*

95 *El.22·* τὸ φελώνιον.

96 *El.22·* Εὐλογεῖτε, ἅγιοι.

97 *El.22* προσθέτει· διάκονος.

98 *El.22* προσθέτει· ὁ [αὐτός].

99 *V.480* στὸ περιθώριο· Ἀρχὴ τῶν μετὰ τὴν μεγάλην εἴσοδον.

100 *El.22·* τῷ Κυρίῳ.

101 *El.22* προσθέτει· τῷ Κυρίῳ.

102 *El.22* προσθέτει· πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

103 *El.22·* Ἐκφώνησις.

104 *V.984, El.22* προσθέτουν· ἵνα ἐν ὁμονοίᾳ ὁμολογήσωμεν.

φ. 314v

τὸ ἔμπροσθεν αὐτοῦ ἄκρον τῆς ἁγίας τραπέζης}[105]*. Περιπτύσσεται δὲ καὶ ὁ διάκονος τὸ ὠράριον αὐτοῦ ἐν ᾧ ἐστιν ὁ τοῦ σταυροῦ τύπος, καὶ οὕτως ἐπισυνάπτει·* Τὰς θύρας, τὰς θύρας· ἐν σοφίᾳ πρόσχωμεν. *Ὁ λαὸς τό·* Πιστεύω {εἰς ἕνα Θεόν...}

Ὁ διάκονος· Στῶμεν καλῶς· στῶμεν μετὰ φόβου· πρόσχωμεν τὴν ἁγίαν ἀναφορὰν[106] ἐν εἰρήνῃ προσφέρειν. *{Τούτου δὲ παρὰ τοῦ διακόνου λεγομένου, ὁ ἱερεὺς αἴρει τὸν ἀέρα ἀπὸ τῶν ἁγίων, κατὰ μικρὸν ὑψῶν αὐτὸν καὶ λέγων}*[107]· Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος, {ἐλέησον ἡμᾶς}. *Καὶ τοῦτον μὲν ἀσπασάμενος, μετατίθησιν. Ἐκφωνεῖ δὲ οὕτως·* Ἡ χάρις τοῦ Κυρίου ἡμῶν {Ἰησοῦ Χριστοῦ καὶ ἡ ἀ[γάπη τοῦ Θεοῦ καὶ Πατρὸς καὶ ἡ κοινωνία τοῦ ἁγίου Πνεύματος εἴη μετὰ πάντων ὑμῶν]}. Ἄνω σχῶμεν {τὰς καρδίας}. Εὐχαριστήσωμεν {τῷ Κυρίῳ}.

Ὁ δὲ διάκονος, εἰσελθὼν καὶ στὰς ἐξ ἀριστερῶν τοῦ ἱερέως ἐκ πλαγίου τῆς ἁγίας τραπέζης, προσκυνεῖ τρίτον. Εἶτα διπλοῖ τὸν ἀέρα καὶ τὰ καλύμματα καὶ τίθησιν ἐν μέρει[108]*. Τοῦ δὲ ἱερέως εἰπόντος·* Τὸν ἐπινίκιον ὕμνον [{ᾄδοντα, βοῶντα, κεκραγότα καὶ λέγοντα}], *αἴρει ὁ διάκονος τὸν ἀστερίσκον καὶ σπογγίσας αὐτὸν ἐπὶ τοῦ εἰλητοῦ καὶ ἀσπασάμενος, τίθησιν αὐτὸν μετὰ τοῦ ἀέρος. Εἶτα μεταβαίνει καὶ ἵσταται ἐν τῷ δεξιῷ μέρει. Καὶ εἰ μὲν ἔστι ῥιπίδιον, λαβὼν αὐτὸ μετὰ χεῖρας, ἵσταται καὶ ῥιπίζει ἐπάνω τῶν ἁγίων μετὰ πάσης εὐλαβείας, ὥστε μὴ καθίσαι μυῖαν ἤ τι τῶν τοιούτων ζωϋφίων. Εἰ δὲ οὐκ ἔστι ῥιπίδιον, ποιεῖ τοῦτο μετὰ καλύμματος.*

Ὅταν {δὲ} ἐκφωνεῖ ὁ ἱερεὺς {τό}· Λάβετε, φάγετε [{τοῦτό μού ἐστι* τὸ σῶμα, τὸ ὑπὲρ ὑμῶν κλώμενον εἰς ἄφεσιν ἁμαρτιῶν}], *ἁπτόμενος ὁ διάκονος τοῦ ἰδίου ὠραρίου, δείκνυσι καὶ αὐτὸς σὺν τῷ ἱερεῖ τὸν ἅγιον δίσκον. Ὡσαύτως καὶ ὅταν τὸ ἅγιον ποτήριον δεικνύῃ ὁ ἱερεὺς λέγων·* Πίετε ἐξ αὐτοῦ πάντες [{τοῦτό ἐστι* τὸ αἷμά μου}]..., *δείκνυσι καὶ ὁ διάκονος σὺν αὐτῷ ὁμοίως τὸ ἅγιον ποτήριον. Καὶ ὅταν ἐκφωνῇ τό·* Τὰ σὰ ἐκ τῶν σῶν {σοὶ προσφέροντες [κατὰ πάντα καὶ διὰ πάντα]}, *ὡσαύτως δεικνύουσιν ἀμφότεροι{, ὅ τε ἱερεὺς καὶ ὁ διάκονος,} τὰ ἅγια.*

Ὅτε δὲ μέλλει ὁ ἱερεὺς ποιεῖσθαι τὴν ἐπίκλησιν τοῦ ἁγίου Πνεύματος καὶ τελειοῦν

105 *El.22·* καὶ τὸ ἄκρον τῆς ἁγίας τραπέζης ἔμπροσθεν ἑαυτοῦ.

106 *V.480* στὸ περιθώριο· ...πρόσχωμεν τῇ ἁγίᾳ ἀναφορᾷ...

107 *El.22·* Τούτου λεγομένου παρὰ τοῦ διακόνου, ὁ ἱερεὺς αἴρει τὸν ἀέρα ἀπὸ τῶν ἁγίων καὶ κατὰ μικρὸν ὑψῶν αὐτὸν λέγει.

108 *El.22* προσθέτει· ἐν ἑνὶ μέρει.

φ. 315r

τὰ ἅγια δῶρα, ἀποτίθησιν ὁ διάκονος ὅπερ μετὰ χεῖρας ἔχει ῥιπίδιον ἢ κάλυμμα, καὶ ἔρχεται ἐγγύτερον τοῦ ἱερέως. Καὶ προσκυνοῦσιν ἀμφότεροι τρίτον ἔμπροσθεν τῆς ἁγίας τραπέζης, εὐχόμενοι καθ᾽ ἑαυτούς. Εἶτα τὴν κεφαλὴν ὑποκλίνας μικρὸν ὁ διάκονος, καὶ δεικνύων σὺν τῷ ὠραρίῳ τὸν ἅγιον δίσκον, λέγει· Εὐλόγησον, δέσποτα, τὸν ἅγιον ἄρτον[109]. Καὶ ὁ ἱερεύς, εὐλογῶν ἐπάνω τοῦ ἁγίου ἄρτου, λέγει ἠρέμα· Καὶ ποίησον τὸν μὲν ἄρτον {τοῦτον τίμιον σῶμα τοῦ Χριστοῦ σου}. {Καὶ} ὁ διάκονος· Ἀμήν. Καὶ αὖθις ὁ διάκονος· Εὐλόγησον, δέσποτα, τὸ ἅγιον ποτήριον. Καὶ ὁ ἱερεύς, εὐλογῶν αὖθις ἐπάνω τοῦ ἁγίου ποτηρίου, λέγει· Τὸ δὲ ἐν τῷ ποτηρίῳ τούτῳ {τίμιον αἷμα τοῦ Χριστοῦ σου}. {Καὶ} ὁ διάκονος· Ἀμήν. Καὶ αὖθις δεικνύων μετὰ τοῦ ἰδίου ὠραρίου ὁμοῦ τὰ ἅγια λέγει· Εὐλόγησον καὶ ἀμφότερα, δέσποτα. Ὁ δὲ ἱερεύς, εὐλογῶν[110] {ἅμα} τόν τε ἅγιον ἄρτον καὶ τὸ ἅγιον ποτήριον, λέγει· Μεταβαλὼν τῷ Πνεύματί σου τῷ ἁγίῳ. Καὶ ὁ διάκονος εἰπών· Ἀμήν, ἀμήν, καὶ περισσότερον ἔτι τὴν κεφαλὴν ὑποκλίνας τῷ ἱερεῖ καὶ εἰπὼν τό· Μνήσθητί μου, δέσποτα ἅγιε, τοῦ ἁμαρτωλοῦ, καὶ τό· Μνησθείη σου Κύριος {ὁ Θεὸς} ἐν τῇ βασιλείᾳ αὐτοῦ, παρὰ τοῦ ἱερέως ἀκούσας, μεθίσταται ἐν ᾧ πρότερον ἵστατο τόπῳ. Καὶ λαβὼν τὸ ῥιπίδιον αὖθις, ποιεῖ ὡς καὶ πρότερον.

Καὶ ὅταν ἐκφωνήσῃ ὁ ἱερεὺς τό· Ἐξαιρέτως [{τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης}]... μνημονεύει καὶ ὁ διάκονος[111] καθ᾽ ἑαυτὸν τῶν τε κτητόρων τῆς μονῆς καὶ ἑτέρων κεκοιμημένων, οἵων βούλεται. {Καὶ εἴπερ λειτουργεῖ καὶ ἀρχιερεύς[112], ἐκφωνεῖ τότε εὐθὺς ὁ διάκονος· Καὶ ὧν ἕκαστος κατὰ διάνοιαν ἔχει, καὶ πάντων καὶ πασῶν.} Μετὰ δὲ τὴν ἑτέραν ἐκφώνησιν[113] τήν· Ἐν πρώτοις μνήσθητι, Κύριε, {τοῦ ἐπισκόπου[114] ἡμῶν...,} πάλιν ὁ διάκονος μνημονεύει τοῦ τε ἡγουμένου καὶ τῆς ἀδελφότητος, καὶ ἑτέρων ζώντων, ὧν βούλεται καθ᾽ ἑαυτόν. {Εἰ δὲ λειτουργεῖ καὶ ἀρχιερεύς[115], ἐκφωνεῖ ὁ διάκονος τότε πρὸ πάντων·

Ἰακώβου (ἢ ἄλλου τινὸς ὀνόματος) τοῦ ἱερωτάτου ἐπισκόπου[116] ἡμῶν[117], καὶ ὑπὲρ τοῦ προσκομίζοντος τὰ ἅγια δῶρα Κυρίῳ, τῷ Θεῷ ἡμῶν[118], τοῦ τιμίου πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας καὶ παντὸς ἱερατικοῦ τάγματος· ὑπὲρ σωτηρίας, κράτους, νίκης[119], διαμονῆς [τῶν εὐσεβεστάτων

φ. 315v

[109] V.480 στὸ περιθώριο· Σχόλιον: Ἐνταῦθα οὐ λέγουσί τινες*· Εὐλόγησον τὸν ἅγιον ἄρτον ἢ τὸ ἅγιον ποτήριον, καθὼς ἐνταῦθα κεῖται, ἀλλ᾽ ἀντὶ τούτου λέγουσι· Τοῦ Κυρίου δεηθῶμεν. Ἔνι γοῦν καὶ τοῦτο καλὸν ὥσπερ κἀκεῖνο, καὶ ὅπερ θέλεις εἰπεῖν ἐκ τῶν δύο, λέγε.

[110] El.22 προσθέτει· καὶ ἀμφότερα.

[111] V.480· Σημείωσαι.

[112] V.480· Σημείωσαι.

[113] V.480· Σημείωσαι.

[114] V.984· ἀρχιεπισκόπου.

[115] V.480· Σημείωσαι.

[116] V.984· ἀρχιεπισκόπου.

[117] V.984 προσθέτει· Ἱερισσοῦ καὶ Ἁγίου Ὄρους.

[118] V.480· ἀκολουθεῖ κάποιο ὄνομα ποὺ ἔχει ἀπαλειφθεῖ. V.984 προσθέτει· ὅδε.

[119] V.984 προσθέτει· καί.

καὶ θεοφυλάκτων βασιλέων ἡμῶν Ἀνδρονίκου καὶ Ἄννης· ὑπὲρ τοῦ εὐσεβεστάτου καὶ φιλοχρίστου βασιλέως ἡμῶν Ἰωάννου][120]· ὑπὲρ εἰρήνης καὶ καταστάσεως τοῦ σύμπαντος κόσμου, εὐσταθείας τῶν ἁγίων τοῦ Θεοῦ ἐκκλησιῶν· ὑπὲρ ἀπολυτρώσεως τῶν ἀδελφῶν ἡμῶν τῶν αἰχμαλώτων· ὑπὲρ εὐοδώσεως τοῦ φιλοχρίστου στρατοῦ· ὑπὲρ συγχωρήσεως καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τοῦ περιεστῶτος λαοῦ· Καὶ πάντων καὶ πασῶν. Τοῦτο δὲ λέγει καὶ ὁ λαὸς ἔξω μετὰ μέλους.}

Ὅτε δὲ ἐκφωνεῖ ὁ ἱερεὺς τό· Καὶ δὸς ἡμῖν ἐν ἑνὶ στόματι [{καὶ μιᾷ καρδίᾳ}]..., δίδωσι καὶ τῷ διακόνῳ καιρόν, εὐλογῶν αὐτὸν δηλονότι. Ὁ δὲ διάκονος, τὸν καιρὸν λαβὼν καὶ προσκυνήσας αὐτῷ, ἐξέρχεται καὶ στὰς ἐν τῷ συνήθει τόπῳ, μετὰ τὸ εἰπεῖν τὸν ἱερέα· Καὶ ἔσται τὰ ἐλέη {τοῦ μεγάλου Θεοῦ}..., ἄρχεται καὶ αὐτός[121]· Πάντων τῶν ἁγίων μνημονεύσαντες, ἔτι καὶ ἔτι {ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν}. Ὑπὲρ τῶν προσκομισθέντων καὶ ἁγιασθέντων τιμίων δώρων τοῦ Κυρίου δεηθῶμεν. Ὅπως ὁ φιλάνθρωπος Θεὸς ἡμῶν, [ὁ] προσδεξάμενος αὐτὰ εἰς τὸ ἅγιον καὶ ὑπερουράνιον καὶ νοερὸν αὐτοῦ θυσιαστήριον εἰς ὀσμὴν εὐωδίας[122], ἀντικαταπέμψῃ ἡμῖν τὴν χάριν καὶ τὴν δωρεὰν τοῦ ἁγίου Πνεύματος, δεηθῶμεν. Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀ[πὸ πάσης θλίψεως, ὀργῆς {καὶ ἀνάγκης τοῦ Κυρίου δεηθῶμεν}]. Ἀντιλαβοῦ, σῶσον, [ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι]. Τὴν ἡμέραν πᾶσαν [τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον παρὰ τοῦ Κυρίου[123] {αἰτησώμεθα}]. Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν, [φύλακα τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν παρὰ]... Συγγνώμην καὶ ἄφεσιν τῶν [ἁμαρτιῶν καὶ τῶν πλημμελημάτων ἡμῶν παρὰ {τοῦ Κυρίου}]... Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς [ἡμῶν καὶ εἰρήνην τῷ κόσμῳ παρὰ][124]... Τὸν ὑπόλοιπον χρόνον τῆς [ζωῆς ἡμῶν ἐν εἰρήνῃ {καὶ μετανοίᾳ ἐκτελέσαι παρὰ]... Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν, [ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικὰ καὶ καλὴν ἀπολογίαν τὴν ἐπὶ τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ αἰτησώμεθα.]} Τὴν ἑνότητα τῆς πίστεως καὶ τὴν κοινωνίαν τοῦ ἁγίου Πνεύματος αἰτησάμενοι, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

φ. 316r

[120] V.984· τῆς εὐσεβεστάτης καὶ φιλοχρίστου δεσποίνης ἡμῶν Ἄννης· ὑπὲρ τῶν εὐσεβεστάτων καὶ φιλοχρίστων βασιλέων ἡμῶν Ἰωάννου καὶ Ἑλένης.

[121] V.480 στὸ περιθώριο· Ἀρχὴ τῶν μετὰ τὴν μυστικὴν εὐχήν.

[122] El.22 προσθέτει· πνευματικῆς.

[123] El.22· τῷ Κυρίῳ.

[124] El.22 προσθέτει· τῷ.

{῾Ο ἱερεὺς [τὴν ἐκφώνησιν]}[125]· Καὶ καταξίωσον ἡμᾶς, [Δέσποτα]... {῾Ο λαός·}[126] Πάτερ ἡμῶν...[127] {Καὶ αὖθις ὁ ἱερεύς·} Ὅτι σοῦ ἐστιν ἡ [βασιλεία]... Εἰρήνη πᾶσιν. ῾Ο διάκονος· Τὰς κεφαλὰς ἡ[μῶν τῷ Κυρίῳ κλίνωμεν]. Καὶ τοῦτο εἰπών, κλίνει καὶ αὐτὸς σὺν τοῖς ἄλλοις μικρὸν τὴν κεφαλὴν ἄχρι τῆς ἐκφωνήσεως. Τοῦ δὲ ἱερέως ἐκφωνήσαντος· Χάριτι καὶ οἰκτιρμοῖς [{καὶ φιλανθρωπίᾳ}]..., ἵσταται ὁ διάκονος καθ᾽ ἑαυτὸν εὐχόμενος καὶ προσέχων τῷ ἱερεῖ τὸν ὀφθαλμόν. Καὶ ὅταν ἴδῃ ἐκεῖνον τὴν εὐχὴν συντελέσαντα καὶ ἀρξάμενον προσκυνεῖν, συμπροσκυνεῖ καὶ αὐτὸς ἐν ᾧ ἵσταται τόπῳ. Καὶ ὅταν ἴδῃ πάλιν ἐκεῖνον ἐκτείναντα τὰς χεῖρας καὶ ἁψάμενον τοῦ ἁγίου ἄρτου, ἐκφωνεῖ· Πρόσχωμεν. Καὶ ὁ ἱερεὺς ὑψῶν τὸν ἅγιον ἄρτον ἐκφωνεῖ· Τὰ ἅγια τοῖς ἁγίοις[128].

Καὶ ὁ μὲν διάκονος εἰσελθών, ἵσταται ἐκ δεξιῶν τοῦ ἱερέως. ῾Ο δὲ ἱερεὺς μελίσας τὸν ἅγιον ἄρτον εἰς μερίδας τέσσαρας, τίθησιν αὐτὰς ἐν τῷ ἁγίῳ δίσκῳ σταυροειδῶς, λέγων καὶ τοῦτο ἐν τῷ μελίζειν· Μελίζεται καὶ διαμερίζεται ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ μελιζόμενος καὶ μὴ διαιρούμενος, ὁ πάντοτε ἐσθιόμενος καὶ μηδέποτε δαπανώμενος.

Καὶ ὁ[129] διάκονος, δεικνύων σὺν τῷ ὠραρίῳ αὐτοῦ τὸ ἅγιον ποτήριον, λέγει· Πλήρωσον, δέσποτα, τὸ ἅγιον ποτήριον. Καὶ ὁ ἱερεύς, λαβὼν τὴν ἄνω {κειμένην} μερίδα, ποιεῖ {μετ᾽ αὐτῆς}[130] σταυρὸν ἐπάνω τοῦ ἁγίου ποτηρίου λέγων· Πλήρωμα Πνεύματος ἁγίου, καὶ οὕτως ἐμβάλλων[131] αὐτήν. Καὶ ὁ διάκονος εἰπὼν τὸ Ἀμήν, δέχεται τὸ εἰσκομισθὲν ζέον. Καὶ προσενεγκὼν αὐτό, λέγει πρὸς τὸν ἱερέα· Εὐλόγησον, δέσποτα, τὸ ζέον. Καὶ ὁ μὲν ἱερεὺς εὐλογεῖ αὐτό. ῾Ο δὲ διάκονος, κρατῶν τῇ ἀριστερᾷ χειρὶ τὸ ἅγιον ποτήριον, ἐγχέει τοῦ ζέοντος τὸ ἀρκοῦν, ἐν ᾧ καὶ λέγει ὁ ἱερεύς· Ζέσις Πνεύματος ἁγίου. {Καὶ} ὁ διάκονος· Ἀμήν.

Εἶτα προσκυνήσαντες ὁμοῦ τρίτον καὶ εὐξάμενοι[132], ὁ μὲν διάκονος ζώννυται σταυροειδῶς τὸ ὠράριον ἑαυτοῦ καὶ ἵσταται μικρὸν αὐτόθι. ῾Ο δὲ ἱερεύς, ποιήσας πρὸς τὸν διάκονον μετάνοιαν καὶ συγχώρησιν αἰτήσας, λαμβάνει {μίαν} μερίδα τοῦ ἁγίου ἄρτου καὶ διελὼν αὐτὴν εἰς δύο, τὸ μὲν ἓν μέρος αὐτὸς λαμβάνει καὶ κρατεῖ ἐντὸς τῆς παλάμης τῆς δεξιᾶς χειρός,

[125] *EI.22* στὸ περιθώριο· Ἐκφώνησις.

[126] *EI.22*· Μετὰ τό.

[127] *V.984* προσθέτει· ...ὁ ἐν τοῖς οὐ...

[128] *V.480* στὸ περιθώριο· Ὕψωσις.

[129] *V.984* προσθέτει· μέν.

[130] *EI.22*· σὺν αὐτῇ.

[131] *EI.22*· ἐμβάλλει.

[132] *V.480* στὸ περιθώριο· Μετάληψις.

φ. 316v

τὸ δὲ ἕτερον μέρος λαβὼν τοῖς τρισὶ δακτύλοις τῆς αὐτῆς χειρός, λέγει ἡσύχως· ῾Ο διάκονος, πρόσελθε. Καὶ ὁ μὲν διάκονος προσελθών, ποιεῖ μετάνοιαν μετὰ πάσης εὐλαβείας, αἰτῶν συγχώρησιν, καὶ οὕτω προσέρχεται. ῾Ο δὲ ἱερεὺς μεταδιδοὺς αὐτῷ λέγει· Τὸ τίμιον καὶ πανάγιον σῶμα τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ μεταδίδοται τῷ δεῖνι[133] διακόνῳ εἰς ἄφεσιν τῶν ἁμαρτιῶν αὐτοῦ καὶ εἰς ζωὴν τὴν αἰώνιον. Καὶ ὁ μὲν διάκονος ἀσπασάμενος τὴν μεταδιδοῦσαν αὐτῷ χεῖρα καὶ λαβὼν τὸ δοθὲν αὐτῷ, ἀπέρχεται ἐν ἑνὶ μέρει τῆς ἱερᾶς τραπέζης ὄπισθεν, καὶ κλίνας κάτω τὴν κεφαλὴν καὶ προσευξάμενος καὶ εἰπὼν τό· Πιστεύω, Κύριε, καὶ ὁμολογῶ, ὅτι σὺ εἶ ὁ Χριστός, ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος, ὁ κατελθὼν ἐκ τῶν οὐρανῶν καὶ σαρκωθεὶς ἐκ Πνεύματος ἁγίου εἰς τὸ σῶσαι ἁμαρτωλούς, ὧν πρῶτός εἰμι* ἐγώ· καὶ τό· Τοῦ δείπνου σου τοῦ μυστικοῦ... καὶ τελευταῖον τό· Μή μοι εἰς κρῖμα* ἢ εἰς κατάκριμα γένοιτο ἡ μετάληψις τῶν ἁγίων σου μυστηρίων, Κύριε, ἀλλ᾽ εἰς ἴασιν ψυχῆς τε καὶ σώματος, μεταλαμβάνει τοῦ ἐν χερσὶ μετὰ φόβου καὶ πάσης ἀσφαλείας. ῾Ο δὲ ἱερεύς, κρατῶν καὶ αὐτὸς ἣν ἔλαβεν ἁγίαν μερίδα, κλίνει τὴν κεφαλὴν ἔμπροσθεν τῆς ἁγίας τραπέζης καὶ προσευξάμενος καὶ εἰπὼν τὰ προειρημένα καὶ αὐτός, μεταλαμβάνει τοῦ ἐν χερσὶ μετὰ πάσης ἀσφαλείας.

Εἶτα ἀναστὰς λαμβάνει ταῖς χερσὶν ἀμφοτέραις μετὰ καλύμματος τὸ ἅγιον ποτήριον καὶ μεταλαμβάνει τρίτον ἐξ αὐτοῦ. Καὶ μετὰ τοῦτο {τά τε ἴδια χείλη}[134] καὶ τοῦ ἱεροῦ ποτηρίου τῷ ἐν χερσὶ καλυμματίῳ[135] ἀποσπογγίσας, καὶ αὐτοῦ που παρὰ τὸ χεῖλος ἔξω τὸ ποτήριον ἀσπασάμενος, προσκαλεῖται καὶ αὖθις τὸν διάκονον λέγων· ῾Ο διάκονος, πρόσελθε. Καὶ προσελθὼν καὶ προσκύνησιν πρὸς αὐτὸν ποιήσας καὶ συγχώρησιν αὖθις ἐξαιτησάμενος, συνεφάπτεται καὶ αὐτὸς τῷ ἱερεῖ τοῦ ἱεροῦ ποτηρίου συνάμα τῷ καλύμματι καὶ μεταλαμβάνει καὶ αὐτὸς τρίτον, οὕτω λέγοντος τοῦ ἱερέως· ῾Ο δεῖνα διάκονος μεταλαμβάνει τοῦ τιμίου καὶ ἁγίου αἵματος τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ εἰς ἄφεσιν τῶν αὐτοῦ ἁμαρτιῶν καὶ εἰς ζωὴν τὴν αἰώνιον. Εἶτα ἀποσπογγίσας {διὰ τοῦ ἐν χερσὶ καλυμματίου}[136]

[133] *V.984*· τῷδε. *EI.22*· τῷδε τῷ.

[134] *EI.22*· τὰ χείλη ἑαυτοῦ τε.

[135] *EI.22*· καλύμματι.

[136] *EI.22*· τῷ ἐν χερσὶ καλυμματίῳ.

φ. 317r

τά τε ἴδια χείλη καὶ τὸ τοῦ ἱεροῦ ποτηρίου, ἀσπάζεται τὸν ἱερέα ἐπὶ τῆς παρειᾶς, ἐν ᾧ καὶ λέγει ὁ μὲν ἱερεύς· Ὁ Χριστὸς ἐν μέσῳ ἡμῶν· ὁ δὲ διάκονος· Καὶ ἔστι καὶ ἔσται.

Καὶ μετὰ τοῦτο, αὐτὸς {μὲν} ὁ διάκονος, λαβὼν μετὰ χεῖρας τόν τε ἅγιον δίσκον καὶ τὴν λεγομένην μοῦσαν, εἰσκομίζει πάντα ἐν τῷ ἁγίῳ ποτηρίῳ μετὰ φόβου καὶ πάσης ἀσφαλείας, ὥστε μηδέν τι τῶν {ἄγαν} λεπτοτάτων ἐκπεσεῖν ἢ καταλειφθῆναι. Ὁ δὲ ἱερεύς, τούτου γινομένου, ἐπιλέγει τὴν τῆς εὐχαριστίας εὐχήν. Εἶτα τὴν ἱερὰν λαβίδα τῷ ἁγίῳ ποτηρίῳ ἐμβαλὼν καὶ καλύψας αὐτὸ μεθ' ἑνὸς τῶν καλυμματίων, αὐτὸς μὲν ὁ διάκονος αἴρει, ἐπιτρέψαντος αὐτοῦ, καὶ στραφεὶς {πρὸς τοὺς ἔξω, δείκνυσι λέγων [μεγαλοφώνως]}[137]· Μετὰ φόβου Θεοῦ καὶ πίστεως προσέλθετε[138].

Ὁ δὲ ἱερεύς[139], {εἰ μέν εἰσί τινες* οἱ μεταλαβεῖν βουλόμενοι, αἴρει ἀπὸ τῶν τοῦ διακόνου χειρῶν τὸ ἅγιον ποτήριον καὶ μεταδίδωσιν αὐτοῖς, καὶ οὕτως εὐλογήσας τὸν λαὸν μετὰ τῆς συνήθους εὐχῆς ὑποστρέφει.}[140] Εἰ δὲ οὐκ εἰσίν, εὐλογεῖ μόνον τὸν λαόν, κατέχοντος τοῦ διακόνου τὸ ἅγιον ποτήριον, ἐπιλέγων καὶ τό· Σῶσον, ὁ Θεός, τὸν λαόν σου {καὶ εὐλόγησον τὴν κληρονομίαν σου}.

Τοῦ δὲ ἁγίου ποτηρίου ἀποτεθέντος ἐν τῇ ἱερᾷ τραπέζῃ, λαβὼν ὁ ἱερεὺς τὸν ἑτοιμασθέντα θυμιατὸν καὶ εὐλογήσας τὸ θυμίαμα, θυμιᾷ ἐκ τρίτου τὰ ἅγια λέγων ἠρέμα καὶ τό· Ὑψώθητι ἐπὶ τοὺς οὐρανούς, {ὁ Θεός, καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα σου}. Εἶτα τὸν μὲν θυμιατὸν ἐπιδίδωσι τῇ δεξιᾷ τοῦ διακόνου, ἐπιτίθησι δὲ καὶ τὸν ἱερὸν δίσκον τῇ κεφαλῇ αὐτοῦ, ἔχοντα τὸν ἀστερίσκον μετὰ τῶν καλυμμάτων. Αὐτὸς δὲ ὁ ἱερεύς, λαβὼν ἐν ταῖς ἰδίαις χερσὶ τὸ ἅγιον ποτήριον, [ἡσύχως μὲν λέγει πρῶτον· Εὐλογητὸς ὁ Θεὸς ἡμῶν], ἐκφωνεῖ [{δὲ}] εἰς ἐπήκοον· Πάντοτε, νῦν καὶ ἀεὶ {καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων}. Καὶ ψαλλομένου τοῦ Πληρωθήτω, ἀποκομίζονται ἐν τῇ προθέσει τὰ ἅγια, προπορευομένου τοῦ διακόνου.

Καὶ ὁ μὲν διάκονος θυμιάσας αὐτὰ καὶ τὸν θυμιατὸν ἀποθέμενος, ἐξέρχεται καὶ στὰς ἐν τῷ συνήθει τόπῳ λέγει· Ὀρθοί· μεταλαβόντες[141] τῶν θείων, ἁγίων, ἀχράντων, ἀθανάτων, ἐπουρανίων, ζωοποιῶν, φρικτῶν[142] τοῦ Χριστοῦ μυστηρίων, εὐχαριστήσωμεν τῷ Κυρίῳ. Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον [ἡμᾶς, ὁ Θεός, {τῇ σῇ χάριτι}].

φ. 317v

[137] *El.22*· πρὸς δυσμάς, δείκνυσι τοῖς ἐκτὸς λέγων.

[138] *V.984* προσθέτει· Μεγαλοφώνως δέ (sic).

[139] *El.22*· αὐτὸς δὲ ὁ ἱερεύς.

[140] *El.22* δυσανάγνωστο.

[141] *V.984*· ἔχει ἀπαλειφθεῖ τὸ ἄρθρο «οἱ».

[142] *V.480*· Προσθήκη δι' ἐρυθρᾶς μελάνης.

Τὴν ἡμέραν πᾶσαν τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον αἰτησάμενοι, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα. Ὁ δὲ ἱερεύς, τούτων λεγομένων, διπλώσας τὸ εἰλητόν, ἐκφωνεῖ· Ὅτι σὺ εἶ ὁ ἁγιασμὸς ἡμῶν {καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν [καὶ ἀεὶ καὶ εἰς τοὺς]}...

Εἶτα ὁ διάκονος· Ἐν εἰρήνῃ προέλθωμεν. Καὶ τοῦ ἱερέως ἐξελθόντος καὶ στάντος ἐν τῷ συνήθει τόπῳ, ὁ διάκονος αὖθις· Τοῦ Κυρίου δεηθῶμεν. Καὶ ὁ ἱερεὺς τὴν ὀπισθάμβωνον εὐχήν. Ταύτης δὲ λεγομένης, ἵσταται ὁ διάκονος ἔμπροσθεν τῶν ἁγίων θυρῶν, κρατῶν τὸ ὠράριον αὐτοῦ, {ὡς πολλάκις εἴπομεν,} καὶ τὴν κεφαλὴν ὑποκλίνων μέχρι συμπληρώσεως τῆς εὐχῆς· ἧς καὶ πληρωθείσης, ὑποστρέφει εἰς τὴν πρόθεσιν. Καὶ τοῦ ἱερέως κἀκεῖ τὴν τελευταίαν εὐχὴν ἐπειπόντος, λαβὼν καιρὸν καὶ προσκυνήσας αὐτῷ, συστέλλει τὰ ἅγια μετὰ πάσης προσοχῆς καὶ ἀσφαλείας, ἀποπλύνων τρίτον τὸ ἅγιον ποτήριον τῷ οἴνῳ καὶ τῷ ὕδατι, καὶ ἐκμάσσων ἀκριβῶς πᾶσαν τὴν ὑγρότητα τῷ σπόγγῳ, ὥστε μὴ ἐναπολειφθῆναι τὴν τυχοῦσαν νοτίδα.

Ταῦτα δὲ συστείλας καὶ διαθεὶς καλῶς, ἀπονίπτεται[143] τὰς χεῖρας καὶ τὰ πρὸ τῶν χειλέων αὐτοῦ ἐν τῷ συνήθει τόπῳ, λέγων καθ' ἑαυτὸν τό· Νῦν ἀπολύεις τὸν δοῦλόν σου..., τρισάγιον, ἀπολυτίκιον καὶ κοντάκιον τῆς ἡμέρας καὶ θεοτοκίον, τὸ Κύριε, ἐλέησον, Δόξα... Καὶ νῦν... Τὴν τιμιωτέραν... καὶ ἀπόλυσιν. Ταῦτα δὲ λέγων, ἀποδύεται καὶ τὸ στιχάριον μετὰ τῶν λοιπῶν. Καὶ προσκυνήσας καὶ εὐχαριστήσας τῷ Θεῷ ἐπὶ πᾶσιν, ἐξέρχεται.

Ὁ δὲ ἱερεὺς διαδίδωσι τὸ ἀντίδωρον, λεγομένου τοῦ Εὐλογήσω τὸν Κύριον...· οὗ καὶ πληρωθέντος, ἐκφωνεῖ τό· Εὐλογία Κυρίου ἐφ' ὑμᾶς..., εὐλογῶν ἅμα καὶ τὸν λαόν. Καὶ μετὰ τοῦτο, τὸν στίχον· Δι' εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν... Καὶ οὕτως ἀπέρχεται ἐν τῇ προθέσει καὶ ἀπονίπτεται λέγων τὰ προειρημένα, καὶ ἀποδύεται τὴν ἱερατικὴν στολήν, ποιῶν καὶ[144] [ἀπόλυσιν καθ' ἑαυτόν. Εἶτα προσκυνήσας καὶ εὐχαριστήσας τῷ Θεῷ ἐπὶ πᾶσιν, ἐξέρχεται.

Τέλος τῆς διατάξεως τῆς θείας λειτουργίας]

φ. 318r

[143] Ἀπ' ἐντεῦθεν τὸ *El.22* δυσανάγνωστο πλέον.

[144] *V.984*· αὐτὸς ὁμοίως.

ΔΙΑΤΑΞΙΣ
ΤΗΣ ΠΑΤΡΙΑΡΧΙΚΗΣ ΛΕΙΤΟΥΡΓΙΑΣ
ΤΟΥ ΔΙΑΚΟΝΟΥ ΔΗΜΗΤΡΙΟΥ ΓΕΜΙΣΤΟΥ

ΕΙΣΑΓΩΓΗ

Ἱστορικό

Ὁ πρωτονοτάριος τῆς Ἁγίας Σοφίας, διάκονος Δημήτριος Γεμιστός, μετὰ ἀπὸ πολλὰ χρόνια ὑπηρεσίας, κατέγραψε λεπτομερῶς τὸ πῶς τελεῖται ἡ πατριαρχικὴ θεία Λειτουργία στὸν καθεδρικὸ ναὸ τοῦ σκευοφυλακίου τῆς Ὀρθοδοξίας, δηλαδὴ τῆς Κωνσταντινουπόλεως. Αὐτὴ ἡ Διάταξη ἔγινε τὸ λεπτομερέστερο καὶ τὸ τελευταῖο Ἀρχιερατικὸ τοῦ Βυζαντίου, ἀλλὰ καὶ ἐκείνη μὲ τὴν ὁποία θὰ ἀσχολοῦντο οἱ μεταγενέστεροι μελετητὲς τῆς ἀρχιερατικῆς Λειτουργίας.

Σὲ ὅλον τὸν ὀρθόδοξο κόσμο εἶναι σπαρμένα τὰ ἀντίγραφά της, περίπου δύο δεκάδες τὸν ἀριθμό. Οἱ σύγχρονες μελέτες ἀποδεικνύουν ὅτι ἡ πιὸ παλαιὰ ἔκδοσή της εἶναι τοῦ χειρογράφου τῆς μονῆς μας ὑπ' ἀρ. 135. Ἄξιον ὅμως ἀπορίας τὸ πῶς αὐτὸ διέφυγε τῆς προσοχῆς τοῦ μεγάλου A. Dmitrievskij, ὁ ὁποῖος μελέτησε μὲν τὴν βιβλιοθήκη μας, ἀλλὰ ἀργότερα στὸ σπουδαῖο βιβλίο του «Описание литургических рукописей... Εὐχολόγια» παρέθεσε τὴν Διάταξη ἀπὸ ἕνα ἄλλο χειρόγραφο. Δύο μπορεῖ νὰ ἦταν οἱ λόγοι: ἢ διότι τὸ χειρόγραφο προστέθηκε ἀργότερα στὴν συλλογὴ τῆς μονῆς ἢ διότι καταγράφεται καὶ αὐτὸ ὄχι στὴν λειτουργική, ἀλλὰ στὴν ἁγιοπατερικὴ σειρά. Καὶ ἐπειδὴ στὸν τίτλο δὲν ἀναγράφεται τὸ ὄνομα τοῦ συντάκτη (Δημήτριος), ἀλλὰ μόνο τὸ ἐπίθετο (Γεμιστός), θεωρήθηκε ἔργο τοῦ φιλοσόφου Γεωργίου. Ἐν πᾶσι περιπτώσει, ἂν ὁ μακαριστὸς καθηγητὴς ἔβλεπε τὸ χειρόγραφο, ὁπωσδήποτε θὰ τὸ ἀνέφερε στὸ βιβλίο του, διότι περιέχει τὶς συγκεκριμένες ἡμερομηνίες, καὶ τῆς συντάξεως καὶ τῆς ἀντιγραφῆς (1386 καὶ 1390).

Τὸ χειρόγραφο εἶναι χαρτῷο καὶ ἀποτελεῖται ἀπὸ 81 γραμμένα φύλλα διαστάσεων 14,5×22,5 ἐκ. Στὶς πρῶτες σελίδες παρατίθενται κάποια λειτουργικὰ ἀποφθέγγματα τοῦ ἁγίου Ἰσιδώρου τοῦ Πηλουσιώτου καὶ στὰ 3r-53v ἡ «Διάταξις τῆς τοῦ πατριάρχου λειτουργίας καὶ πῶς γίνεται ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ...». Πάνω ἀπὸ τὸν τίτλο σημειώνεται ὅτι γράφτηκε τὸν Αὔγουστο τοῦ 1386. Τὸ δὲ δεύτερο χέρι προσθέτει πὼς τὸ ἔγραψε ὁ Γεμιστὸς στὴν Κωνσταντινούπολη, ἐνῷ ἡ ἀντιγραφὴ ἔγινε τὸν Νοέμβριο τοῦ 1390. Τὴν διάταξη τῆς Λειτουργίας ἀκολουθεῖ «Τάξις γινομένη ἐπὶ καθιερώσει ναοῦ...» (54r-81v).

Λειτουργικό

- Τὸ πρῶτο μέρος τῆς Διατάξεως εἶναι ἡ Πρόθεση καὶ τὰ πρὶν τῆς ἐλεύσεως τοῦ πατριάρχου. Εἶναι πολὺ ἐνδιαφέρον τὸ πῶς περιγράφεται ἡ προετοιμασία τῆς ἀναβάθρας καὶ τοῦ «ἀετοῦ»: μία σκηνὴ ποὺ τὴν εἶδε ὁ συντάκτης πολλὲς φορές.
- Ἡ Πρόθεση (ἢ Προσκομιδή, ὅπως τὴν ὀνομάζει ἡ σημείωση στὸ περιθώριο) εἶναι σχεδὸν ἐπὶ λέξει ἐπανάληψη τῆς Διατάξεως τοῦ Φιλοθέου. Αὐτὸ ποὺ προσθέτει σὲ δύο σημεῖα ὁ κυρὸς Γεμιστός, εἶναι τὰ σχετικὰ μὲ τὴν προετοιμασία περισσοτέρων ἁγίων ποτηρίων ἀπὸ τὴν ἀρχή, προφανῶς σὲ μεγάλα συλλείτουργα, ὅταν ὑπῆρχε ἀνάγκη.
- Ὁ πατριάρχης, ὅπως καὶ κάθε ἀρχιερεύς, πάντοτε ἐνδυόταν ἔξω τοῦ ἱεροῦ βήματος, ἄσχετα πόσο ἐπίσημα γινόταν ἡ ἔνδυση. Ἡ εἴσοδός του στὸ θυσιαστήριο γινόταν στὸ τρίτο ἀντίφωνο.
- Ἀφοῦ «πάρει καιρὸ» πολὺ ἁπλά, ὁ πατριάρχης ἀρχίζει νὰ ἐνδύεται ὡς ἱερεύς. Τὸ μόνο διακριτικὸ τῆς ἀρχιερωσύνης εἶναι τὸ ὠμοφόριο. Καὶ ἂν ληφθεῖ ὑπ' ὄψιν ὅτι δὲν ἐνδυόταν πάντα τὸν σάκκο, ἀλλὰ τὸ «φαινόλιον», τὸ δὲ ἐπιγονάτιο φοροῦσαν καὶ προνομιοῦχοι ἱερεῖς, ἐξωτερικὰ ὁ πατριάρχης σχεδὸν δὲν διέφερε ἀπὸ τοὺς πρεσβυτέρους.
- Ὅταν ὁ ἀρχιεπίσκοπος ἐνδύεται τὸ δεξιὸ ἐπιμάνικο, οἱ διάκονοι λένε τό· «Ἡ δεξιά σου...». Ἐδῶ στὸ περιθώριο σημειώνεται ὅτι ὑπάρχει καὶ μία ἄλλη παράδοση, «ἕτεροι δὲ λέγουσι...», καὶ παραθέτει τὸν στίχο, ὁ ὁποῖος ἀπαντᾶται στὶς «προφιλοθεϊκὲς» Διατάξεις: «Δεξιὰ Κυρίου...».
- Τὸν πατριάρχη «ἀλλάσσει», δηλαδὴ βοηθάει νὰ ντυθεῖ, ὁ κανστρίσιος, ὀφφικιοῦχος διάκονος, ὁ ὁποῖος ἔχει αὐτὸ τὸ προνόμιο, ἐνῶ τὰ λόγια τῆς ἔνδυσης ὡς ἐπὶ τὸ πλεῖστον λένε οἱ «ὑπηρετοῦντες διάκονοι».
- Δύο σημαντικὲς λεπτομέρειες στὴν ἀρχὴ τῆς Λειτουργίας: α) Καμία εὐχὴ δὲν λέγεται καθημένου τοῦ λειτουργοῦ. Καὶ ἴσως ἐπειδὴ ἦταν κουραστικὸ γιὰ ἕναν ἡλικιωμένο πατριάρχη νὰ σηκώνεται καὶ νὰ κάθεται στὰ ἀντίφωνα, τὴν ὥρα ποὺ ὁ διάκονος ἀπήγγειλλε τὴν Μεγάλη Συναπτή, ὁ ἀρχιερεὺς ἔλεγε καὶ τὶς τρεῖς εὐχὲς τῶν ἀντιφώνων ὁμοῦ. β) Στὴν ἀρχὴ τῆς Λειτουργίας ὁ πατριάρχης ἵσταται ἔξω τοῦ βήματος μόνο μὲ τοὺς διακόνους. Στὸ δεύτερο ἀντίφωνο ἐξέρχονται οἱ ἀρχιερεῖς ἀπὸ τὸν «συνήθη τόπο», ὅπου εἶχαν ἐνδυθεῖ, οἱ δὲ ἱερεῖς στὸ τρίτο ἀντίφωνο. Καὶ αὐτὸ ὄχι τυχαῖα, ἀλλὰ ὅπως ἑρμηνεύει ὁ ἅγ. Συμεών, ἡ παρουσία τοῦ ἐπισκόπου στὴν ἀρχὴ τῆς ἱερουργίας εἶναι ταπεινή, ἀνάλογη μὲ τὴν τριακονταετῆ ἀφανῆ παραμονὴ τοῦ Χριστοῦ στὴν γῆ.
- Πολὺ διαφέρει ἀπὸ τὴν σημερινὴ πρακτικὴ ἡ ἀπαγγελία τοῦ ψαλμικοῦ «Κύριε, Κύριε, ἐπίβλεψον...». Ὅπως μαρτυροῦν καὶ ἄλλες πηγές, λεγόταν δύο φορές: 1) Μετὰ τὴν εἴσοδο καὶ τὴν θυμίαση τοῦ θυσιαστηρίου, ἐνῶ σφράγιζε τρεῖς φορὲς μὲ δικέρι τὸ ἅγιο Εὐαγγέλιο. 2) Ψαλλομένου τοῦ Τρισαγίου Ὕμνου, πάλι κατὰ τὴν τριπλὴ σφράγιση τοῦ Εὐαγγελίου μὲ τρικέρι. Τὸ νὰ σφραγίζεται μὲ κεριὰ τὸ Εὐαγγέλιο δὲν εἶναι πράξη εὐλογίας, ἀλλὰ ἀπόδοση τιμῆς, ἀνάλογη μὲ τὴν θυμίαση.

- Στὴν συνέχεια γιὰ πρώτη φορὰ γίνεται λόγος γιὰ τὴν [εὐ]φήμη, ἡ ὁποία γίνεται «κατὰ πάσας τὰς γραφὰς» πρὶν τὸ τελευταῖο κοντάκιο καὶ μάλιστα «καθημένου τοῦ πατριάρχου ἐν τῷ σελίῳ αὐτοῦ». Καὶ ὅπως λίγο ἀργότερα θὰ δηλώσει σαφῶς ὁ κυρὸς Γεμιστός, ἡ φήμη μετατίθεται μετὰ τὸ Τρισάγιο μόνο ὅταν λαμβάνει χώρα χειροτονία ἐπισκόπου.
- Ἀφοῦ «πάρει καιρὸ» τοῦ Τρισαγίου ὁ δευτερεύων τῶν διακόνων, ἀρχίζει ὁ Ὕμνος. Ψάλλεται στὶς ἑορτὲς διπλὰ (στὴν προκείμενη περίπτωση ἑπτά), σύμφωνα μὲ τὴν ἀρχαία παράδοση ποὺ ἐφηρμόζετο καὶ στὴν Λειτουργία τοῦ Ἰακώβου. Καὶ ἀφοῦ ψαλεῖ καὶ ὑπὸ τῶν ἐν τῷ βήματι, δὲν ἐπαναλαμβάνεται ἀπὸ τοὺς ἰδίους χῦμα.
- Μετὰ τὸ Τρισάγιο καὶ τὴν χειροτονία ἐπισκόπου, ἀνέρχονται ὅλοι στὸ σύνθρονο καὶ ὁ νεοχειροτονηθεὶς ἀρχιερεὺς κάθεται «ἐν δεξιῷ μέρει, ἐπάνω τοῦ πρώτου τῶν ἀρχιερέων». Ἀντιπαραθέτοντας αὐτὸ τὸ σημεῖο μὲ ἄλλα χωρία τῆς διατάξεως, θὰ δοῦμε ὅτι ἀπερχόμενοι στὸ σύνθρονο οἱ συλλειτουργοὶ δὲν ἀλλάζουν τὴν «γεωγραφική τους πλευρά», καὶ ὅσοι ἵστανται στὸ βόρειο μέρος, παραμένουν στὰ βόρεια σύνθρονα καὶ οἱ τοῦ νότου στὰ νότια. Σὲ αὐτὸ διαφωνεῖ μὲν ὁ ἅγιος Συμεών, συμφωνεῖ δὲ τὸ Πηδάλιον. Ἀνερχόμενος ὁ ἀρχιεπίσκοπος στὴν κατ' ἐξοχὴν θέση του, μεταδίδει εἰρήνη στὸν λαό.
- Ἡ Διάταξη διασώζει τὴν ἀκριβῆ καὶ σωστὴ τάξη τῶν διακονικῶν ἐκφωνήσεων στὰ ἀναγνώσματα, ἐκείνη τοῦ Φιλοθέου. Ἀλλὰ μεγαλύτερο ἐνδιαφέρον ἔχουν τὰ τοῦ Ἀλληλούϊα καὶ τοῦ Εὐαγγελίου. Μετὰ τὴν θυμίαση τῆς ἁγίας τραπέζης καὶ τῶν λειτουργῶν, ἕνας ἀπὸ τοὺς διακόνους ζητάει εὐλογία νὰ ἀναγνώσει τὸ Εὐαγγέλιο. Ὁ πατριάρχης τὸν εὐλογεῖ ὡς πατέρας φορώντας ὠμοφόριο. Ἀλλὰ στὸ τελευταῖο Ἀλληλούϊα, ἀκριβῶς πρὶν ἀκουστεῖ τὸ ἅγιο Εὐαγγέλιο, τὸ βγάζει κατὰ τὴν παροιμία: «Ἀρχηγοῦ παρόντος πᾶσα ἀρχὴ παυσάτω»· ὅταν ἀκούγεται ὁ ἴδιος ὁ Ποιμήν, δὲν ὑπάρχει ἀνάγκη τῶν συμβόλων του. Ἴσως δὲν εἶναι τυχαῖο καὶ τὸ ὅτι «Σοφία· ὀρθοί, ἀκούσωμεν...» λέγει ἐκεῖνος ὁ διάκονος ποὺ κρατάει τὸ ὠμοφόριο. Μετὰ ἀπὸ αὐτὴν τὴν περιγραφή, ὁ συντάκτης ἀφιερώνει σχεδὸν μία ὁλόκληρη σελίδα στὸ θέμα τοῦ ὠμοφορίου, πότε ἐνδύεται καὶ πότε ἐκβάλλεται: σημαντικὴ ἀρχή, ἡ ὁποία τελευταίως ἔχει ἀγνοηθεῖ[1]. Ἀλλὰ καὶ ὁ ἅγιος Ἰσίδωρος στὴν εἰσαγωγὴ τοῦ χειρογράφου τὸ ἴδιο μαρτυρεῖ.
- Ἀρχαῖα λειτουργικὰ ἔθιμα εἶναι τὸ νὰ σφραγίζει τὸν λαὸ ὁ ἱερεὺς κατὰ τὴν Ἐκτενῆ, τὸ νὰ ἁπλώνουν τὸ εἰλητὸ οἱ διάκονοι καὶ νὰ τὸ ἁπλώνουν στὸ «Ὅσοι κατηχούμενοι...».
- Οἱ δύο Μικρὲς Συναπτὲς ποὺ ἀκολουθοῦν, ὅπως εἴπαμε, ἔχουν σκοπὸ νὰ καλύψουν τὸν χρόνο ποὺ χρειάζεται γιὰ νὰ πεῖ ὁ πατριάρχης τὶς εὐχές. Ἄρα δὲν τὶς ἔλεγε νωρίτερα ἢ βιαστικά.
- Στὸ Χερουβικὸ βλέπουμε νὰ θυμιάζει ὁ κανστρίσιος, διάκονος τῷ βαθμῷ, τὴν ὥρα ποὺ ὁ πατριάρχης προσεύχεται. Ὁ ἀρχιεπίσκοπος παραμένει στὴν θέση του μετὰ τὴν εὐχή:

[1] Δὲν θὰ κάνουμε λόγο γιὰ τὴν ἀπουσία τοῦ μικροῦ ὠμοφορίου, τὸ ὁποῖο ἦταν τὸ ἴδιο τὸ μεγάλο, ἀλλὰ διπλωμένο.

οὔτε ὀνόματα μνημονεύει, οὔτε μεταβαίνει στὸ σκευοφυλάκιο (ὅπου ἡ πρόθεση), πράγμα ποὺ ἦταν καὶ δυσχερὲς στὴν Ἁγία Σοφία.

- Πέραν τῆς παρουσίας τῶν πολλῶν δίσκων καὶ ποτηρίων ποὺ εἶχε καθαρὰ πρακτικὸ σκοπό, κάνει ἐντύπωση τὸ ὀλιγόλογον τῆς Μεγάλης Εἰσόδου. Ἐνῶ φαίνεται ἀπὸ τὴν περιγραφὴ ὅτι γινόταν αὐτὴ μὲ πολλὴ μεγαλοπρέπεια, τὸ μόνο ποὺ λεγόταν ἐκφώνως ἦταν τὸ «Μνησθείη ὑμῶν Κύριος ὁ Θεὸς ἐν τῇ βασιλείᾳ αὐτοῦ» (καὶ μάλιστα χωρὶς «Πάντοτε νῦν...»). Δὲν γινόταν μνημόνευση ὀνομάτων, διότι στὴν βυζαντινὴ Λειτουργία ἡ θέση τῶν διπτύχων εἶναι μετὰ τὴν προσφορὰ τῶν δώρων, ὄχι πρίν. Καὶ βέβαια ὁ γνωστὸς διάλογος στὸ τέλος τοῦ Χερουβικοῦ εἶναι σὲ σωστὴ σειρά: στὸν θύτη εὔχονται «Πνεῦμα ἅγιον...», ὄχι ὁ θύτης.
- Πρὶν ἀσπασθοῦν ὁ ἕνας τὸν ἄλλο οἱ λειτουργοί, ἀσπάζονται ὄχι τὰ προτεθέντα δῶρα, ἀλλὰ τὴν ἁγία τράπεζα μόνο. Φαίνεται τέτοια ἦταν ἡ τοπικὴ παράδοση, ἡ ὁποία διέφερε ἀπὸ αὐτὴν τοῦ Ἁγίου Ὄρους.
- Στὸ περιθώριο δίπλα στὴν ἐκφώνηση «Τὸν ἐπινίκιον ὕμνον...» ὑπάρχει μία ἐνδιαφέρουσα σημείωση περὶ τῆς ἄτοπης, ἐκ πρώτης ὄψεως, παρεμβολῆς τοῦ ὑποδιακόνου μὲ τὸ «Ὅσοι πιστοί». Ἡ γραφὴ εἶναι ἡ ἴδια τοῦ γραφέα. Φαίνεται ὅτι τὴν ἔγραψε ἄνθρωπος ἐξοικειωμένος μὲ τὰ τῆς Μεγάλης Ἐκκλησίας, αὐτόπτης καὶ γνώστης τῶν πραγμάτων.
- Λέγοντας τοὺς ἱδρυτικοὺς λόγους καὶ τὸ «Τὰ σὰ ἐκ τῶν σῶν σοὶ προσφέροντες...» δὲν φαίνεται νὰ κάνει ὁποιεσδήποτε κινήσεις ὁ ἀρχιεπίσκοπος, σὲ ἀντίθεση πάλι μὲ τὴν διάταξη τοῦ Φιλοθέου, ὅπου δεικνύει τρεῖς φορὲς τὴν ἁγία προσφορά.
- Μία ἄλλη ἰδιαιτερότητα τῆς Ἁγίας Σοφίας πρέπει νὰ θεωρηθεῖ καὶ ἡ «καθ' ἑαυτὸν» ἀπαγγελία τοῦ τροπαρίου τῆς Τρίτης Ὥρας πρὶν τὴν ἐπίκληση. Αὐτὸ τὸ λειτουργικὸ ἔθιμο τηρεῖται μέχρι σήμερα στὶς σλαβικὲς ἐκκλησίες.
- Στὸν καθαγιασμὸ ἀπαντᾶται μία σημαντικὴ λεπτομέρεια: ὁ κυρὸς Γεμιστὸς μᾶς λέγει ὅτι παρόντων πολλῶν ποτηρίων ἀλλάζει ὁ ἀριθμὸς τοῦ ἀντικειμένου, ἀντὶ «[ἐν] τῷ ποτηρίῳ τούτῳ» ὁ πατριάρχης λέγει «τοῖς ποτηρίοις τούτοις», χωρὶς νὰ ἀλλάζει ὅμως τὸ ἄρθρο τοῦ ἑνὸς περιεχομένου, διότι ὅπως ἀργότερα θὰ γράψει ὁ ἅγιος Συμεὼν Θεσσαλονίκης· «Ἓν τὸ προσφερόμενον καὶ ἐν διαφόροις ὁρᾶται». Μάλιστα, μὲ σκοπὸ νὰ διευκολύνει τοὺς λειτουργούς, ὁ συντάκτης κάνει τὸ ἑξῆς: πάνω ἀπὸ τοὺς ἀντιστοίχους λόγους γράφει μὲ ἐρυθρὸ μελάνι τὸ πῶς μετατρέπεται ἡ πρόταση ἀπὸ ἑνικὸ σὲ πληθυντικό.
- Μία ἄλλη λεπτομέρεια, ποὺ καὶ αὐτὴ λησμονήθηκε, εἶναι τὸ νὰ θυμιάζει ὁ διάκονος τὴν ἁγία τράπεζα γύρω μετὰ τὸ «Ἐξαιρέτως...». Στὴν συνέχεια βλέπουμε ποῦ εἶναι ἡ ἀρχικὴ καὶ κατ' ἐξοχὴν θέση τῆς μνημονεύσεως τῶν ὀνομάτων: ὁ πατριάρχης ἀναφέρει τὰ ὀνόματα τῶν κεκοιμημένων πρὶν τὸ «...καὶ ἀνάπαυσον αὐτούς...», τῶν δὲ ζώντων μετὰ τὴν εὐχὴ «Μνήσθητι, Κύριε, τῆς πόλεως...».

- «Πρὸ τοῦ ἐκφωνῆσαι τὸν πατριάρχην» ἕνας ἀπὸ τοὺς διακόνους κατακλείει τὰ δίπτυχα τῶν κεκοιμημένων μὲ τὸ «Καὶ ὧν ἕκαστος κατὰ διάνοιαν ἔχει, καὶ πάντων καὶ πασῶν». Ἄρα αὐτὴ ἡ διακονικὴ ἐκφώνηση λεγόταν καὶ στὴν Βασιλεύουσα καὶ στὸ Ἅγιον Ὄρος.
- Ὕστερα ὁ πατριάρχης ἐκφωνεῖ: «Μνήσθητι, Κύριε, πάσης ἐπισκοπῆς...». Καὶ διευκρινίζει ὁ συντάκτης ὅτι μόνο ὁ προκαθήμενος δικαιοῦται νὰ λέει τὴν ἐκφώνηση σὲ αὐτὴν τὴν μορφή, ἐνῶ οἱ λοιποὶ ἀρχιερεῖς ὀφείλουν νὰ ἀναφέρουν τὸν πρῶτο τῆς τοπικῆς τους ἐκκλησίας: «Ἐν πρώτοις μνήσθητι...». Κάθε τοπικὴ ἐκκλησία ἔχει τὸν πρῶτο, ἕναν ἄνθρωπο, ἕναν ἀρχιεπίσκοπο, διότι ἡ πρώτη θέση, «ἐν πρώτοις», χωράει μόνο ἕναν. Στὴν ἐκκλησία του αὐτὸς μνημονεύεται «ἐν πρώτοις». Πάνω δὲ ἀπὸ ἕναν προκαθήμενο εἶναι μόνο τὸ σύνολο τῶν ἀρχιερέων, ποὺ εἶναι περισσότεροι ἀπὸ ἕναν. Γι' αὐτὸ καὶ «Ἐν πρώτοις» δὲν χωράει δύο ἢ περισσοτέρους. Ἀφαιρεῖται τὸ «Ἐν πρώτοις» καὶ λέγεται κατ' εὐθεῖαν «Μνήσθητι, Κύριε, πάσης ἐπισκοπῆς ὀρθοδόξων...».
- Ἕνα ἀπὸ τὰ πολυτιμότερα μέρη τῆς Διατάξεως εἶναι ἡ λεπτομερὴς καὶ ἀκριβὴς περιγραφὴ τοῦ μελισμοῦ καὶ τῆς θείας Κοινωνίας. Ὁ κυρὸς Γεμιστός, «στοιχῶν τῷ λειτουργικῷ κανόνι» τῆς Ἐκκλησίας, μᾶς παρουσιάζει τὸν μοναδικὸ τρόπο τῆς θείας Μεταλήψεως στὰ συλλείτουργα: κανένας δὲν κοινωνάει μόνος του, δὲν παίρνει τὰ ἅγια μόνος του, ἀλλὰ τοῦ μεταδίδονται, δηλαδὴ στὸν καθένα δίνει ἄλλος. Ἡ Διάταξή μας εἶναι ἡ τελευταία στὸν τομέα της ποὺ μαρτυρεῖ τὴν ἀλληλοκοινωνία. Μετὰ τὴν Ἅλωση αὐτὴ ἡ παράδοση σιγὰ-σιγὰ χάθηκε στὸν ἑλληνικὸ χῶρο (ἴσως καὶ γιὰ τὸ σπάνιο τῶν συλλειτούργων), καὶ ἀργότερα κατ' ἐπίδρασήν του καὶ στὴν ρωσσικὴ ἐκκλησία.
- Μετὰ τὴν Κοινωνία τοῦ λαοῦ μεταφέρονται τὰ ἅγια στὸ σκευοφυλάκιο ἐνῶ ψάλλεται τὸ ἀρχαῖο «Πληρωθήτω...».
- Εἶναι σημαντικὸ τὸ γεγονός, ὅτι οἱ νεοχειροτονηθέντες κληρικοί, διάκονοι καὶ ἱερεῖς, γιὰ πρώτη φορὰ ἐκφωνοῦν μετὰ τὴν θεία Μετάληψη: ὁ μὲν τὸ «Ὀρθοί· μεταλαβόντες...», ὁ δὲ τὴν ὀπισθάμβωνη εὐχή. Ἀμέσως δὲ μετὰ τὴν χειροτονία ἵστανται γύρω ἀπὸ τὴν ἁγία τράπεζα καὶ εὔχονται. Μάταια θὰ ἀναζητοῦσε κανεὶς ὁποιαδήποτε ἄλλη ἐκδοχὴ στὴν χειρόγραφη παράδοση. Στὴν περίπτωση πρεσβυτέρου εἶναι σημαντικὸ ὅτι τὸ πρῶτο ποὺ λέει ὁ νέος ἱερεὺς εἶναι μία ὁλόκληρη εὐχή, ὄχι μόνο κάποια κατακλείδα δηλαδὴ ἐκφώνηση.
- Τέλος, πρέπει νὰ σημειωθεῖ ὅτι σπάνια ἀναφέρονται τὰ δικηροτρίκηρα: μετὰ τὴν Μικρὰ Εἴσοδο, στὸν Τρισάγιο Ὕμνο καὶ στὸ Χερουβικό, μάλιστα σὲ συγκεκριμένες στιγμές. Οἱ προεξάρχοντες διάκονοι τὰ ἔδιναν στὸν ἀρχιερέα, ἀλλὰ δὲν φαίνεται νὰ τὰ κρατοῦσαν συνέχεια. Μᾶλλον τῶν ὑποδιακόνων ἦταν τὸ καθῆκον.

Ἡ Διάταξη τοῦ διακόνου Δημητρίου Γεμιστοῦ διαβάζεται εὐχάριστα. Λησμονεῖ κανεὶς ὅτι πρόκειται περὶ ἑνὸς λειτουργικοῦ ἐγχειριδίου, διότι μεταφέρει τὸν ἀναγνώστη στὸ τέμενος τῆς τοῦ Θεοῦ Σοφίας, μέσα στὴν θεοπρεπῆ λατρεία τοῦ ἀληθινοῦ Θεοῦ.

KEIMENO

// Τοῦ ἁγίου Ἰσιδώρου τοῦ Πηλουσιώτου[1] φ. 1r

Ὅσον ἄπληστος αὐτὸς εἶ πρὸς τὴν μάθησιν, τοσοῦτον πρόθυμος ἐγὼ πρὸς τὴν δήλωσιν. Μόνον εἰ Θεὸς δῷ ταῖς εὐχαῖς σου τὴν εὕρεσιν ἄνωθεν.

Ἡ ὀθόνη μεθ' ἧς λειτουργοῦσιν οἱ διάκονοι, τὴν τοῦ Κυρίου ἀναμιμνήσκει ταπείνωσιν, νίψαντος τοῦ πόδας τῶν μαθητῶν καὶ ἐκμάξαντος. Τὸ δὲ τοῦ ἐπισκόπου ὠμοφόριον ἐξ ἐρέας ὄν, ἀλλ' οὐ λίνου, τὴν τοῦ προβάτου δορὰν σημαίνει, ὅπερ πλανηθὲν ζητήσας ὁ Κύριος, ἐπὶ τῶν οἰκείων ὤμων ἀνέλαβεν. Ὁ γὰρ ἐπίσκοπος εἰς τύπον ὢν τοῦ Χριστοῦ, τὸ ἔργον ἐκείνου πληροῖ καὶ δείκνυσι διὰ τοῦ σχήματος, ὅτι μιμητής ἐστι τοῦ ἀγαθοῦ καὶ μεγάλου ποιμένος, ὁ τὰς ἀσθενείας ἡμῶν (sic) φέρειν τοῦ ποιμνίου προβεβλημένος. Καὶ πρόσεχε ἀκριβῶς· ἡνίκα γὰρ αὐτὸς ὁ ἀληθινὸς ποιμὴν παραγίνεται διὰ τῆς τῶν Εὐαγγελίων τῶν προσκυνητῶν ἀναπτύξεως, καὶ ὑπανίσταται καὶ ἀποτίθεται τὸ σχῆμα τῆς μιμήσεως ὁ ἐπίσκοπος, αὐτὸν δηλῶν παρεῖναι τὸν Κύριον, τὸν τῆς ποιμαντικῆς ἡγεμόνα καὶ Θεὸν καὶ Δεσπότην.

Τοῦ αὐτοῦ ἁγίου Ἰσιδώρου[2]

Ἢ παρέργως ποιεῖ τὴν τῶν θείων νόμων ἀνάγνωσιν, ἢ καὶ αὐτὴν ἀγνοεῖς τὴν ἀνάγνωσιν, ἡνίκα γὰρ εἰς τὸν θεῖον νεὼν ἱερουργεῖν Ἀαρὼν καὶ οἱ ἐξ ἐκείνου εἰσῄεσαν, // πάντα ἐξ ἐρέας ἀποτιθέντες ἐσθήματα, στολὰς ἐκ λίνου περιεβάλλοντο, ἐχούσας καὶ τὸ ἀπέριττον καὶ τῶν ἔξωθεν θορύβων ἐπιλησμονεῖν σημαινούσας. Ὁ γὰρ Θεῷ λειτουργεῖν προσιών, οὐδὲν ἀλλότριον καὶ τῆς ὕλης ἐφόλκιον ἐπιφέρεσθαι δύναται. Εἰ τοίνυν μετὰ τοιαῦτα τεκμήρια βιάζεσθαι κατατολμᾶς τὴν ἀλήθειαν, συγχύσεις* καὶ φλυαρίας ἀναφέρων τοῖς ἀνακτόροις, οἷς πᾶσα σιγὴ κεχρεώστηται, ὁμιλίας ἀτόπους καὶ χειροθεσίας ἀθέσμους, πέπεισο εἰς ἔσχατον ἐξωθεῖν σαυτὸν κατακρίσεως κίνδυνον. φ. 1v

Τοῦ αὐτοῦ[3]

Εἰρήνην ὁ ἱερεὺς ἀπὸ τοῦ ὕψους τῆς καθέδρας τῇ ἐκκλησίᾳ δίδωσι, τὸν Κύριον μιμούμενος ἀναλαμβανό-

[1] Ἐπιστολὴ ρλς΄, Ἑρμίνῳ κόμητι.

[2] Ἐπιστολὴ με΄, Μαρτυρίῳ ἐπισκόπῳ.

[3] Ἐπιστολὴ ρκβ΄, Δωροθέῳ κόμητι.

μενον, εἰρήνην τὴν οἰκείαν ἀφιέντα καὶ διδόντα. Τὸ δὲ «Καὶ τῷ πνεύματί σου» παρὰ τοῦ λαοῦ ἀποκρινόμενον τοῦτο δηλοῖ· Εἰρήνην ἡμῖν παρέσχες, Κύριε, τὴν ἐν ἀλλήλοις ὁμόνοιαν· εἰρήνην δὲ δὸς ἡμῖν τὴν πρὸς σὲ ἀδιαίρετον ἕνωσιν, ἵνα τῷ πνεύματί σου εἰρηνεύοντες, ὃ ἡμῖν ἐν ἀρχῇ τῆς δημιουργίας ἐνέθηκας, ἀχώριστοι τῆς σῆς ἀγάπης τυγχάνωμεν.

Ὁ δὲ Θεολόγος Γρηγόριος οὐ πρὸς τὸν Θεόν, ἀλλὰ πρὸς τὸν ἱερέα λέγεσθαι τοῦτο δηλοῖ. Φησὶ γάρ· Εἰρήνη φίλη, τὸ γλυκὺ καὶ πρᾶγμα καὶ ὄνομα, ὃ νῦν ἔδωκα τῷ λαῷ καὶ ἀντέλαβον.

Περὶ τῆς εὐχαριστίας

φ. 2r

Ἐπεὶ θυσία λέγεται, ζητῶ//μεν τί τὸ θυόμενον· Ὁ ἄρτος, ἔτι ἄρτος ὤν, ἢ μετὰ τὸ γενέσθαι σῶμα Χριστοῦ; Καὶ εἰ μὲν ὁ ἄρτος, οὐκ ἔσται ἡ τοῦ σώματος τοῦ Χριστοῦ θυσία. Εἰ δὲ μετὰ τὸ γενέσθαι σῶμα Χριστοῦ θύεται, οὐ σώζεται τὸ ἅπαξ αὐτὸν προσενεχθῆναι. Τί οὖν ἐστι εἰπεῖν; Ἢ ὅτι οὔτε μετὰ τὸ ἁγιασθῆναι προσάγεται καὶ θύεται, οὔτε πρὸ τοῦ ἁγιασθῆναι· ἀλλ' ἐν αὐτῷ τῷ ἁγιάζεσθαι γίνεται οὗτος δὴ ὁ ἄρτος, αὐτὸ τὸ προσενηνεγμένον καὶ τεθυμένον σῶμα τοῦ Χριστοῦ· καὶ τοῦτό ἐστι τὸ τυθῆναι καὶ προσενεχθῆναι, τὸ γενέσθαι αὐτὸ τὸ προσενηνεγμένον καὶ τεθυμένον. Καὶ οὕτω σώζεται καὶ τὴν θυσίαν εἶναι θυσίας τοῦ σώματος τοῦ Χριστοῦ καὶ τὸ ἅπαξ προσενεχθῆναι καὶ τυθῆναι τὸ τοῦ Χριστοῦ σῶμα.

φ. 3r

// Διάταξις τῆς τοῦ πατριάρχου λειτουργίας καὶ πῶς γίνεται ἐν τῇ Μεγάλῃ Ἐκκλησίᾳ, ἐν ᾗ καὶ ἡ τάξις τῶν χειροτονιῶν, πότε καὶ πῶς γίνεται ἑκάστη, συνταχθεῖσα παρὰ τοῦ πρωτονοταρίου τῆς ἁγιωτάτης τοῦ Θεοῦ Μεγάλης Ἐκκλησίας, διακόνου κυροῦ τοῦ Γεμιστοῦ[4]

Οἱ μέλλοντες τὴν θείαν ἐπιτελέσαι μυσταγωγίαν, ὀφείλουσιν εἶναι προηγουμένως μὲν κατηλλαγμένοι μετὰ πάντων καὶ μὴ ἔχειν κατά τινος, καὶ τὴν καρδίαν ὅση δύναμις ἀπὸ πονηρῶν τηρῆσαι λογισμῶν, ἐγκρατεύσασθαί τε μικρὸν ἀφ' ἑσπέρας καὶ ἐγρηγορέναι μέχρι τοῦ τῆς ἱερουργίας καιροῦ.

Πρὸ δὲ τοῦ καιροῦ οἱ ὑπηρέται εὐτρεπίζουσι τὴν ἀναβάθραν τοῦ πατριάρχου, τιθέντες αὐτὴν ἔνδον τοῦ ναοῦ ἐν ταῖς βασιλικαῖς πύλαις, // ἢ καὶ ἐν τῷ νάρθηκι. (φ. 3v) Καὶ ἐν τῷ τέλει τῶν βαθμίδων ἑκατέρωθεν αὐτῆς τιθέασι θρόνους ἀρχιερατικούς. Μέσον δὲ τῶν θρόνων τούτων ἀπὸ τῆς τελευταίας βαθμίδος ζωγραφεῖ ὁ ἐπὶ τῆς εὐταξίας ἀετὸν μετὰ φεγγίου, τὴν κεφαλὴν αὐτοῦ ποιῶν πρὸς τὸ μέρος τῆς ἀναβάθρας, περὶ δὲ τοὺς πόδας αὐτοῦ ζωγραφεῖ σχῆμα πόλεως, καὶ κάτωθεν τῆς πόλεως ὡς ποταμοὺς τρεῖς. Καὶ ταῦτα καλῶς εὐτρεπίσας, ἵστησιν ὑπηρέτας ἔξωθεν τῶν θρόνων φυλάσσοντας τὴν ζωγραφίαν, ὥστε μὴ διέρχεσθαί τινας καὶ καταπατεῖν αὐτά.

Τοῦ[5] δὲ καιροῦ ἐπιστάντος, ὁ δευτερεύων τῶν ἱερέων ἀπέρχεται μετὰ διακόνου ἑνὸς ἐν τῇ προθέσει καὶ ποιεῖ τὴν προσκομιδὴν οὕτως· εὐτρεπίζει ὁ διάκονος τὰ ἱερὰ καὶ τίθησι τὸν μὲν ἅγιον δίσκον ἐν τῷ μέρει τῷ ἀριστερῷ, τὸ δὲ ἅγιον ποτήριον // ἐν τῷ δεξιῷ καὶ τὰ ἄλλα σὺν αὐτοῖς. (φ. 4r)

Καὶ ποιούντων ὁμοῦ προσκυνήματα τρία, λέγει ὁ διάκονος· Εὐλόγησον, δέσποτα. Ὁ δὲ ἱερεὺς ποιεῖ εὐλογητόν. Εἶτα λαμβάνει ὁ ἱερεὺς ἐν μὲν τῇ ἀριστερᾷ χειρὶ τὴν προσφοράν, ἐν δὲ τῇ δεξιᾷ τὴν ἁγίαν λόγχην καὶ σφραγίζων σὺν αὐτῇ τρίτον ἐπάνω τῆς σφραγῖδος* τῆς προσφορᾶς λέγει· Εἰς ἀνάμνησιν τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ· καὶ λέγει τοῦτο τρίς.

[4] Στὸ περιθώριο πάνω· Ἐν ἔτει σωτηρίῳ ͵ϛωϟδ´, ἰνδικτιῶνος θ´, μηνὶ Αὐγούστῳ· Καὶ μὲ μέλανα γράμματα δεξιὰ προστίθεται τὸ ἑξῆς (τὸ χέρι φαίνεται νὰ εἶναι τοῦ γραφέα)· … ἐγράφη ἐν Κωνσταντινουπόλει παρὰ τοῦ Γεμιστοῦ. Νῦν δὲ μετεγράφη τῷ ͵ϛωϟη´ ἔτει ἰνδικτιῶνος ιγ´, μηνὶ Νοεμβρίῳ.

[5] Στὸ περιθώριο διὰ δευτέρας χειρός· Ὅπως γίνεται ἡ προσκομιδή.

Καὶ εὐθὺς πήγνυσι τὴν λόγχην ἐν τῷ ἀριστερῷ μέρει τῆς σφραγῖδος* καὶ ἀνατέμνων λέγει· Ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη ὁ Κύριος. Ἐν δὲ τῷ δεξιῷ λέγει· Καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείροντος αὐτὸν ἄφωνος, οὕτως οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ. Ἐν δὲ τῷ ἄνω μέρει τῆς σφραγῖδος λέγει· Ἐν τῇ ταπεινώσει αὐτοῦ ἡ κρίσις αὐτοῦ ἤρθη. Ἐν δὲ τῷ κάτω λέγει· Τὴν δὲ γενεὰν αὐτοῦ τίς διηγήσεται;[6] // Ὁ δὲ διάκονος ἐν μιᾷ ἑκάστῃ ἀνατομῇ λέγει· Τοῦ Κυρίου δεηθῶμεν, κρατῶν καὶ τὸ ὠράριον αὐτοῦ τῇ δεξιᾷ.

φ. 4v

Μετὰ ταῦτα λέγει ὁ διάκονος· Ἔπαρον, δέσποτα. Καὶ ὁ ἱερεύς, ἐμβάλλων τὴν λόγχην ἐκ πλαγίου τοῦ ἀριστεροῦ μέρους τῆς προσφορᾶς, ἐπαίρει τὸν ἅγιον ἄρτον λέγων· Ὅτι αἴρεται ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ. Καὶ θεὶς αὐτὸν ὕπτιον ἐν τῷ ἁγίῳ δίσκῳ, εἰπόντος τοῦ διακόνου· Θῦσον, δέσποτα, θύει αὐτὸν ὁ ἱερεὺς σταυροειδῶς ἐπιλέγων· Θύεται ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς καὶ σωτηρίας. Καὶ[7] στρέφει τὸ ἕτερον μέρος ἐπάνω, τὸ ἔχον τὸν σταυρόν, εἰ μήπως ἔνι ζέων καὶ ἀτμίζων. Τότε γὰρ ὑπτίως κείσθω, διὰ τὸ μὴ ποιῆσαι κάτωθεν ὑγρότητα. Νύττων δὲ αὐτὸν ἐν τῷ δεξιῷ μέρει μετὰ τῆς λόγχης ἐπιλέγει· Εἷς τῶν στρατιωτῶν λόγχῃ αὐτοῦ τὴν πλευρὰν ἔνυξε καὶ εὐθέως ἐξῆλθεν αἷμα // καὶ ὕδωρ· καὶ ὁ ἑωρακὼς μεμαρτύρηκε καὶ ἀληθινή ἐστιν* ἡ μαρτυρία αὐτοῦ. Ὁ δὲ διάκονος ἐγχέει τῷ ἁγίῳ ποτηρίῳ ἐκ τοῦ νάματος καὶ τοῦ ὕδατος ὁμοῦ, εἰπὼν πρὸς τὸν ἱερέα πρότερον· Εὐλόγησον, δέσποτα. Καὶ λαβὼν ἐπ᾽ αὐτοῖς εὐλογίαν. Εἰ δὲ πλείονές εἰσιν* οἱ λειτουργοῦντες, πληροῖ καὶ ἕτερα ποτήρια ὅσα θέλει, ἀναλόγως πρὸς τὸ πλῆθος τῶν λειτουργούντων.

φ. 5r

Ὁ δὲ ἱερεύς, λαβὼν ἐν ταῖς χερσὶ τὴν δευτέραν προσφοράν, λέγει· Εἰς τιμὴν καὶ μνήμην τῆς ὑπερευλογημένης δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, ἧς ταῖς πρεσβείαις πρόσδεξαι, Κύριε, τὴν θυσίαν ταύτην εἰς τὸ ὑπερουράνιον θυσιαστήριον· καὶ αἴρων μερίδα μετὰ τῆς ἁγίας λόγχης, τίθησιν ἐξ ἀριστερῶν[8] τοῦ ἁγίου ἄρτου[9].

Ἐν τῇ τρίτῃ προσφορᾷ λέγει· Τοῦ τιμίου, ἐνδόξου προφήτου, προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου. Τῶν

[6] Στὸ κάτω περιθώριο μεταγενέστερο χέρι ζωγραφίζει πρόχειρα τὸν δίσκο καὶ τὸ ποτήριο. Στὸν δίσκο φαίνονται οἱ μερίδες, ὅπως ἐτίθεντο τὸν ιζ´ αἰ. καὶ ἐντεῦθεν· ἡ μερίδα τῆς Θεοτόκου ἐκ δεξιῶν τοῦ ἀμνοῦ καὶ τὰ ἐννέα τάγματα (μὲ νούμερα μάλιστα). Στὸν ἀμνὸ φαίνεται τὸ σημεῖο ποὺ γίνεται ἡ νύξη. Μέσα στὸ ποτήριο ζωγραφίζεται ἕνα τετραγωνάκι μὲ γράμματα «IC», προφανῶς δείχνοντας ποιὰ μερίδα τοῦ ἁγίου ἄρτου ἐμβάλλεται ἀργότερα μέσα. Ἐπίσης ὑπάρχουν καὶ ἄλλα σημάδια δίπλα στὸ ποτήριο, τὰ ὁποῖα ἴσως δεικνύουν πόσο νᾶμα ἢ καὶ ὕδωρ ἐγχέεται σὲ αὐτό.

[7] Στὸ περιθώριο τὸ σύμπλεγμα· Σημείωσαι.

[8] Διὰ δευτέρας χειρὸς διαγράφεται τὸ «ἐξ ἀριστερῶν» καὶ προστίθεται στὸ περιθώριο· «ἐκ δεξιῶν».

[9] Διὰ δευτέρας χειρὸς προστίθεται· Ἐπιλέγων· παρέστη ἡ βασίλισσα ἐκ δεξιῶν σου ἐν ἱματισμῷ κλπ.

ἁγίων ἐνδόξων // καὶ πανευφήμων ἀποστόλων. Τῶν ἐν ἁγίοις πατέρων ἡμῶν καὶ ἱεραρχῶν Βασιλείου τοῦ Μεγάλου, Γρηγορίου τοῦ Θεολόγου καὶ Ἰωάννου τοῦ Χρυσοστόμου καὶ πάντων τῶν ἁγίων ἱεραρχῶν. Τοῦ ἁγίου ἀποστόλου, πρωτομάρτυρος καὶ ἀρχιδιακόνου Στεφάνου. Τῶν ἁγίων μεγάλων μαρτύρων Γεωργίου, Δημητρίου, Θεοδώρων καὶ πάντων τῶν ἁγίων μαρτύρων. Τῶν ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν. Τῶν ἁγίων καὶ θαυματουργῶν ἀναργύρων. Τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης. Τοῦ ἁγίου τοῦδε, οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν καὶ πάντων τῶν ἁγίων, ὧν ταῖς ἱκεσίαις ἐπίσκεψαι ἡμᾶς, ὁ Θεός. Καὶ οὕτως αἴρει τὴν μερίδα καὶ τίθησιν αὐτὴν ἐν τῷ αὐτῷ[10] μέρει, ἤγουν τῷ ἀριστερῷ. Ὑποκάτω δὲ τὰς λοιπὰς ἐφεξῆς τίθησιν. Εἰ δὲ ἔστιν ἑορταζόμενος ἅγιος, ἰδίαν ἐκβάλλει μερίδα εἰς ὄνομα αὐτοῦ. Εἶτα λαμβάνων ἑτέραν προσφορὰν λέγει· Ὑπὲρ τοῦ...

φ. 5v

(ἐλλείπει φύλλο)[11]

... ἀρχιεπισκόπου ἡμῶν τοῦδε, ὑπὲρ πάσης ἐπισκοπῆς ὀρθοδόξων, τοῦ τιμίου πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας καὶ παντὸς ἱερατικοῦ τάγματος· τῶν ἀδελφῶν καὶ συλλειτουργῶν ἡμῶν ἀρχιερέων, πρεσβυτέρων καὶ διακόνων καὶ πάντων τῶν ἀδελφῶν ἡμῶν, οὓς προσεκαλέσω εἰς τὴν σὴν κοινωνίαν διὰ τῆς σῆς εὐσπλαγχνίας, πανάγαθε Δέσποτα. Εἶτα λέγει οὓς ἔχει κατ᾽ ὄνομα ζῶντας καὶ οὕτως αἴρει τὴν μερίδα.

Ἐν δὲ τῇ ἑτέρᾳ προσφορᾷ λέγει οὕτως· Ὑπὲρ μνήμης καὶ ἀναπαύσεως τῶν ψυχῶν τῶν κεκοιμημένων δούλων σου τῶνδε. Καὶ λέγει οὓς ἔχει κατ᾽ ὄνομα κεκοιμημένους. Εἶτα λέγει· Καὶ πάντων τῶν ἐπ᾽ ἐλπίδι ἀναστάσεως ζωῆς αἰωνίου καὶ τῇ σῇ κοινωνίᾳ κεκοιμημένων ὀρθοδόξων πατέρων καὶ ἀδελφῶν ἡμῶν, φιλάνθρωπε Κύριε. Καὶ οὕτως αἴρει μερίδα.

Ὁ δὲ διάκονος, λαβὼν καὶ αὐτὸς προσφορὰν καὶ ταύτην δοὺς πρὸς τὸν ἱερέα, ἐκείνου τὰς μερίδας αἴροντος, αὐτὸς μνημονεύει ὧν ἔχει κατ᾽ ὄνομα ζώντων καὶ τεθνεώτων. Ὁμοίως καὶ οἱ λοιποὶ ἱερεῖς καὶ διάκονοι, εἴπερ ἐθέλουσιν, αἴρουσι μερίδας ὑπὲρ ὧν ἔχουσι κατ᾽ ὄνομα.

[10] Τὸ δεύτερο χέρι τὸ διόρθωσε μὲν σὲ «ἄλλῳ», ἀλλὰ δὲν φρόντισε νὰ διορθώσει καὶ τὴν συνέχεια, συγχύζοντας πλέον μὲ τό· «ἤγουν τῷ ἀριστερῷ».

[11] Τὸ ἀπολεσθὲν φύλλο ἀναπληρώνουμε ἀπὸ τὸ χειρόγραφο Vatic. gr. 721 (ιδ´-ιε´ αἰ.).

Ὁ δὲ ἱερεύς, λαβὼν τὴν μοῦσαν, συλλέγει τὰς ἐν τῷ ἁγίῳ δίσκῳ μερίδας ὑποκάτω τοῦ ἁγίου ἄρτου, ὥστε κεῖσθαι ἐν ἀσφαλείᾳ καὶ μὴ ἐκπεσεῖν τι.

Μετὰ ταῦτα, λαβὼν ὁ διάκονος τὸ θυμιατήριον καὶ θυμίαμα βαλὼν ἐν αὐτῷ, λέγει πρὸς τὸν ἱερέα· Εὐλόγησον, δέσποτα, τὸ θυμίαμα. Τοῦ Κυρίου δεηθῶμεν. Καὶ ὁ ἱερεὺς εὐλογῶν αὐτὸ λέγει τὴν εὐχὴν ταύτην· Θυμίαμά σοι προσφέρομεν, Χριστέ, ὁ Θεὸς ἡμῶν, εἰς ὀσμὴν εὐωδίας, ὃ προσδεξάμενος εἰς τὸ ἐπουράνιόν (sic) σου θυσιαστήριον, ἀντικατάπεμψον ἡμῖν τὴν χάριν τοῦ παναγίου σου Πνεύματος.

Ὁ διάκονος· Τοῦ Κυρίου δεηθῶμεν. Καὶ ὁ ἱερεύς, θυμιάσας τὸν ἀστερίσκον, τίθησιν αὐτὸν ἐπάνω τοῦ ἁγίου ἄρτου λέγων· Τῷ λόγῳ Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν καὶ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐτῶν. Καὶ ἐλθὼν ὁ ἀστήρ, ἔστη* ἐπάνω οὗ ἦν τὸ παιδίον.

(συνεχίζεται τὸ χειρόγραφο 135)

φ. 6r // Ὁ διάκονος· Τοῦ Κυρίου δεηθῶμεν. Ὁ ἱερεὺς θυμιῶν τὸ πρῶτον κάλυμμα, σκεπάζει τὸν ἅγιον δίσκον λέγων· Ὁ Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο. Ὁ διάκονος· Τοῦ Κυρίου δεηθῶμεν. Κάλυψον, δέσποτα. Ὁ ἱερεὺς θυμιῶν τὸ δεύτερον κάλυμμα, σκεπάζει τὸ ἅγιον ποτήριον λέγων· Ἐκάλυψεν οὐρανοὺς ἡ ἀρετή σου, Χριστέ, καὶ τῆς συνέσεώς σου πλήρης ἡ γῆ. Τὸ αὐτὸ ποιεῖ καὶ εἰς τὰ λοιπὰ ποτήρια, εἴπερ εἰσὶ πλείονα. Ὁ διάκονος· Τοῦ Κυρίου δεηθῶμεν. Σκέπασον, δέσποτα, τὰ ἅγια. Ὁ ἱερεὺς θυμιῶν τὸν ἀέρα, σκεπάζει πάντα λέγων· Σκέπασον ἡμᾶς ἐν τῇ σκέπῃ τῶν πτερύγων σου, ἀποδίωξον ἀφ' ἡμῶν πάντα ἐχθρὸν καὶ πολέμιον, εἰρήνευσον ἡμῶν τὴν ζωήν, Κύριε· ἐλέησον ἡμᾶς καὶ τὸν κόσμον σου καὶ σῶσον τὰς ψυχὰς ἡμῶν ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Εἶτα δήσαντες ἀμφότεροι τὰς ἑαυτῶν χεῖρας καὶ προσκυνήσαντες εὐλαβῶς λέγουσιν· Εὐλογητὸς ὁ Θεὸς
φ. 6v // ὁ οὕτως εὐδοκήσας, πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ὁ διάκονος· Ἐπὶ τῇ προθέσει τῶν τιμίων δώρων τοῦ Κυρίου δεηθῶμεν. Καὶ λέγει ὁ ἱερεὺς τὴν εὐχὴν τῆς προθέσεως ταύτην·

Ὁ Θεός, ὁ Θεὸς ἡμῶν, ὁ τὸν οὐράνιον ἄρτον, τὴν τροφὴν τοῦ παντὸς κόσμου, τὸν Κύριον ἡμῶν καὶ Θεὸν Ἰησοῦν Χριστόν, ἐξαποστείλας σωτῆρα καὶ λυτρωτὴν καὶ εὐεργέτην, εὐλογοῦντα καὶ ἁγιάζοντα ἡμᾶς, αὐτὸς εὐλόγησον τὴν πρόθεσιν ταύτην, καὶ πρόσδεξαι αὐτὴν εἰς τὸ ὑπερουράνιόν σου θυσιαστήριον· μνημόνευσον ὡς ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς τῶν προσενεγκάντων καὶ δι' οὓς προσήγαγον καὶ ἡμᾶς ἀκατακρίτους διαφύλαξον ἐν τῇ ἱερουργίᾳ τῶν θείων σου μυστηρίων. Ὅτι ἡγίασται καὶ δεδόξασται τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς // αἰῶνας τῶν φ. 7r
αἰώνων. Ἀμήν.

Καὶ μετὰ τοῦτο θυμιάσας αὐτὸς ὁ ἱερεὺς τὴν πρόθεσιν, ποιεῖ καὶ ἀπόλυσιν ἐνταῦθα. Καὶ οὕτω λαμβάνων ὁ διάκονος τὸν θυμιατόν, ἀπέρχεται καὶ θυμιᾷ τὴν ἁγίαν τράπεζαν κύκλῳ σταυροειδῶς λέγων καθ' ἑαυτὸν καὶ τὸ τροπάριον τόδε· Ἐν τάφῳ σωματικῶς, ἐν ᾅδου δὲ μετὰ ψυχῆς ὡς Θεός, ἐν παραδείσῳ δὲ μετὰ λῃστοῦ καὶ ἐν θρόνῳ ὑπῆρχες, Χριστέ, μετὰ Πατρὸς καὶ Πνεύματος, πάντα πληρῶν ὁ ἀπερίγραπτος.

Εἶτα λέγει τὸν πεντηκοστόν, ἐν ᾧ καὶ θυμιάσας ὅλον τὸ ἱερατεῖον καὶ τὸν ἱερέα καὶ αὖθις τὴν ἁγίαν τράπεζαν, ἀποτίθησι τὸν θυμιατὸν ἐν τῷ ἰδίῳ τόπῳ, περιμένων τὸν ἀπὸ τοῦ πατριάρχου καιρόν.

Πότε φορένει ὁ πατριάρχης, μέλλων τὴν θείαν ἐπιτελέσαι μυσταγωγίαν, καὶ ἐν ποίῳ τόπῳ καὶ περὶ τῶν ὑπηρετούντων αὐτῷ

Ὁ δὲ πατριάρχης κατερχόμενος, εἰ μὲν ψάλ//λουσιν φ. 7v
ἔτι τὸν ὄρθρον, φορένει ἔμπροσθεν τοῦ στασιδίου* αὐτοῦ, μετὰ τὸ τέλος τῆς ἐνάτης ᾠδῆς, εἰ δὲ οὐ ψάλλουσιν, ὄπισθεν τοῦ στασιδίου*. Ἐρχόμενοι γοῦν οἱ διάκονοι καὶ προσκυνοῦντες, κρατοῦντες ἐν ταῖς χερσὶν αὐτῶν ἕκαστος τὸ στιχάριον καὶ τὸ ὠράριον, λαμβάνουσιν εὐλογίαν παρὰ τοῦ πατριάρχου καὶ φορένουσιν αὐτοὶ πρῶτον.

Ὁ δὲ πατριάρχης ἐκβαλὼν τὸ μανδύον, εἶτα προσκυνήσας τρὶς κατ' ἀνατολάς, λέγει καθ' ἑαυτὸν τὴν

εὐχὴν ταύτην· Κύριε, ἐξαπόστειλον τὴν χεῖρά σου ἐξ ὕψους [ἁγίου] κατοικητηρίου σου καὶ ἐνίσχυσόν με εἰς τὴν προκειμένην διακονίαν σου, ἵνα ἀκατακρίτως παρασταθῶ τῷ φοβερῷ σου βήματι καὶ τὴν ἀναίμακτον ἱερουργίαν ἐπιτελέσω· ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις εἰς τοὺς αἰῶνας. Ἀμήν.

Αὐτὴν δὲ ταύτην τὴν εὐχὴν λέγουσι καὶ οἱ πρεσβύτεροι καὶ οἱ διάκονοι πρὸς // ἑαυτούς, ἐνδυόμενοι τὰς φ. 8r
στολὰς αὐτῶν. Εἶτα ἄρχεται ὁ πατριάρχης ἐνδύεσθαι τὴν ἀρχιερατικὴν στολήν, ἀλλάσσοντος αὐτὸν τοῦ κανστρισίου, συνεργούντων αὐτῷ καὶ τῶν λοιπῶν διακόνων.

Ὅτε οὖν ἐνδύεται τὸ στιχάριον, λέγουσιν οἱ ὑπηρετοῦντες διάκονοι· Ἀγαλλιάσεται ἡ ψυχή μου ἐπὶ τῷ Κυρίῳ, ἐνέδυσε γάρ με ἱμάτιον σωτηρίου καὶ χιτῶνα εὐφροσύνης περιέβαλέ με, ὡς νυμφίῳ περιέθηκέ μοι μίτραν[12] καὶ ὡς νύμφην κατεκόσμησέ με κόσμῳ.

[12] Τὸ δεύτερο χέρι κακῶς διορθώνει τὸ «ι» μὲ «η».

Εἰς δὲ τὸ ἐπιτραχήλιον, εὐλογοῦντος αὐτὸ τοῦ πατριάρχου καὶ ἀσπαζομένου, λέγουσιν· Εὐλογητὸς ὁ Θεὸς ἡμῶν ὁ ἐκχέων τὴν χάριν αὐτοῦ ἐπὶ τοὺς ἱερεῖς αὐτοῦ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας...

Τὴν δὲ ζώνην εὐλογοῦντος λέγουσιν· Εὐλογητὸς ὁ Θεὸς ὁ περιζωνύων με δύναμιν, τῇ αὐτοῦ φιλανθρωπίᾳ καὶ χάριτι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας...

Τὸ δὲ δεξιὸν ἐπιμάνικον εὐλογοῦντος καὶ ἀ//σπα- φ. 8v
ζομένου λέγουσιν· Ἡ δεξιά σου, Κύριε, δεδόξασται ἐν ἰσχύϊ, ἡ δεξιά σου χείρ, Κύριε, ἔθραυσεν ἐχθροὺς καὶ τῷ πλήθει τῆς δόξης σου συνέτριψας τοὺς ὑπεναντίους[13].

[13] Στὸ περιθώριο· *Ἕτεροι δὲ λέγουσι·* Δεξιὰ Κυρίου ἐποίησε δύναμιν, δεξιὰ Κυρίου ὕψωσέ με.

Καὶ τὸ ἀριστερὸν ὁμοίως εὐλογοῦντος καὶ ἀσπαζομένου λέγουσιν· Αἱ χεῖρές σου ἐποίησάν με καὶ ἔπλασάν με, συνέτισόν με καὶ μαθήσομαι τὰς ἐντολάς σου.

Ὁ δὲ ἐπὶ τῶν γονάτων, λαβὼν τὸ ἐπιγονάτιον, ἔρχεται πρὸς τὸν πατριάρχην, ὃς εὐλογεῖ καὶ ἀσπάζεται τοῦτο καὶ περιτίθησιν αὐτὸ ὁ ἐπὶ τῶν γονάτων, κάτωθεν τῆς ζώνης ἀπὸ τοῦ δεξιοῦ μέρους, λέγων· Περίζωσαι τὴν ῥομφαίαν σου ἐπὶ τὸν μηρόν σου, δυνατέ, τῇ ὡραιότητί σου καὶ τῷ κάλλει σου.

Εὐλογοῦντος δὲ καὶ τὸ φελώνιον[14] τοῦ πατριάρχου ἢ τὸν σάκκον λέγουσιν· Οἱ ἱερεῖς σου, Κύριε, ἐνδύσονται

[14] Στὸ περιθώριο· *φενόλην.*

δικαιοσύνην καὶ οἱ ὅσιοί σου ἀγαλλιάσει ἀγαλλιάσονται.

Ἀσπαζομένου δὲ καὶ τὸ ὠμοφόριον, ἐπιτίθησιν // ὁ φ. 9r
κανστρίσιος αὐτὸ τῷ ὤμῳ τοῦ πατριάρχου λέγων· Ἐπὶ τῶν ὤμων, Χριστέ, τὴν πλανηθεῖσαν ἄρας φύσιν, ἀναληφθεὶς τῷ Θεῷ καὶ Πατρὶ προσήγαγες.

Αὐτὰ δὲ ταῦτα λέγουσι καὶ οἱ πρεσβύτεροι ἐνδυόμενοι, ἐν ἑκάστῳ τῶν ἱερατικῶν ἐνδυμάτων δίχα τοῦ ἐπιγονατίου καὶ τοῦ ὠμοφορίου.

Ὁμοίως δὲ καὶ οἱ διάκονοι ἐνδυόμενοι τὸ στιχάριον λέγουσι τὸ προγραφέν, ἤτοι τό· Ἀγαλλιάσεται ἡ ψυχή μου... *Τὸ δὲ ὡράριον ἀσπαζόμενοι περιτιθέασι τῷ ἑαυτῶν ἀριστερῷ ὤμῳ.*

Ὅταν τοίνυν ἄρξηται φορένειν ὁ πατριάρχης, οἱ ἀρχιερεῖς ἐρχόμενοι καὶ προσκυνοῦντες κατὰ τάξιν, προσκαλουμένου αὐτοὺς τοῦ ἐπὶ τῆς εὐταξίας, ἀπέρχονται εἰς τὸν συνήθη τόπον καὶ φορένουσιν, ἐπιλεγόντων τῶν ὑπηρετούντων αὐτοῖς ἐν ἑκάστῳ τῶν ἐνδυμάτων τὰ προειρημένα.

Τοῦτο[15] *δὲ γίνεται μὴ οὔσης χειροτονίας ἀρχιερατι-*
κῆς. Εἰ γάρ ἐστι χειροτονία, οὐ φορένουσι νῦν, // ἀλλ’ φ. 9v
εἰσερχόμενοι εἰς τὸ ἅγιον βῆμα, ἐνδύονται ἐπάνω τῶν μανδύων φαινόλια ἱερατικὰ λευκὰ καὶ κάθηνται, περιμένοντες τὸν καιρόν. Τοῦ δὲ ὄρθρου πληρωθέντος, μετὰ τὴν μεγάλην δοξολογίαν, εἷς τῶν διακόνων ἀνερχόμενος ἐν τῷ ἄμβωνι, ποιεῖ τὴν ἐκτενὴν καὶ τὰς αἰτήσεις. Καὶ γίνεται ἡ κεφαλοκλισία καὶ ἡ ἐκφώνησις χωρὶς ἀπολύσεως.

[15] Σημείωσαι.

Ὁ δὲ πατριάρχης, μετὰ τὴν δοξολογίαν, προπορευομένου ἔμπροσθεν τοῦ ἐπὶ τῆς εὐταξίας καὶ τῶν διακόνων κατὰ συζυγίαν καὶ κατὰ τάξιν, ἀνέρχεται ἐν τῇ ἀναβάθρᾳ διὰ μέσου τοῦ ἀετοῦ, τῶν ἄλλων πάντων ἔνθεν κἀκεῖθεν ὑποχωρούντων, ἵνα μὴν πατήσωσιν αὐτόν. Εἶτα ὑποχωροῦσι πάντες καὶ κάθηνται ἐν ἑνὶ μέρει.

Ὁ δὲ μέγας χαρτοφύλαξ ἀπέρχεται μετὰ τοῦ ὑπομνηματογράφου καὶ τοῦ ἱερομνήμονος ἑπομένων αὐτῷ, προπορευομένου ἀεὶ τοῦ ἐπὶ τῆς εὐταξίας, καὶ
προσκαλεῖται πρῶτον τοὺς ψάλτας. Οἳ καὶ ἐρχό//μενοι, φ. 10r
στάντες ἀπαντικρὺ τοῦ πατριάρχου καὶ προσκυνήσα-

ντες, ψάλλουσι τρὶς τό· Εἰς πολλὰ ἔτη, δέσποτα.

Μετὰ τούτους προσκαλεῖται τοὺς ἄρχοντας τῆς ἐκκλησίας. Οἳ καὶ ἐρχόμενοι κατὰ τάξιν καὶ κατὰ συζυγίαν προσκυνοῦντες, οἱ μὲν ἐξωκατάκηλοι κάθηνται ἐν ταῖς βαθμίσι τῆς ἀναβάθρας, ὁ δὲ πρωτονοτάριος καὶ ὁ λογοθέτης ἀνέρχονται καὶ ἵστανται ἑκατέρωθεν τοῦ πατριαρχικοῦ θρόνου. Οἱ δὲ λοιποὶ ἵστανται κάτω μετὰ τὴν ἀναβάθραν ἐξ ἑκατέρου μέρους.

Εἶτα προσκαλεῖται τοὺς ἀρχιερεῖς. Οἳ καὶ ἐρχόμενοι μετὰ φαινολίων λευκῶν καὶ προσκυνοῦντες κατὰ συζυγίαν, κάθηνται ἐν τοῖς προευτρεπισμένοις θρόνοις. Καὶ τελευταῖον προσκαλεῖται τὸν ὑποψήφιον. Ὃς καὶ ἐρχόμενος μετὰ φαινολίου λευκοῦ καὶ ἐπιτραχηλίου, κατὰ ποταμὸν προσκυνεῖ. Καὶ στὰς ἀπαντικρὺ τοῦ πατριάρχου, ἀναγινώσκει τὴν ἰδίαν ὁμολογίαν εἰς ἐπήκοον πάντων.

φ. 10v Καὶ μετὰ τὴν ἀνάγνωσιν, // ἀνιστάμενος ὁ μέγας χαρτοφύλαξ ἀπέρχεται ἐν τῷ τόπῳ ἔνθα ἵσταται ὁ ὑποψήφιος, καὶ λαβὼν τὴν αὐτοῦ κεφαλὴν τῇ ἰδίᾳ δεξιᾷ καὶ ταύτην ὑποκλίνας, ἀσκεπῆ οὖσαν, ἐκφωνεῖ· Κελεύσατε. Καὶ πάντων ἀνισταμένων, ἀνίσταται καὶ ὁ πατριάρχης, καὶ ἔχων πρὸς αὐτὸν τὴν χεῖρα ἐκτεταμένην ἐκφωνεῖ· Ἡ χάρις τοῦ παναγίου Πνεύματος διὰ τῆς ἡμῶν μετριότητος προχειρίζεταί σε μητροπολίτην τῆς θεοσώστου πόλεως τῆσδε.

Καὶ οἱ μὲν ψάλται ψάλλουσι τρὶς τό· Εἰς πολλὰ ἔτη, δέσποτα, ὁ δὲ μέγας χαρτοφύλαξ κρατῶν τὸν χειροτονούμενον ἀπὸ τῆς κεφαλῆς, ἀνέρχεται διὰ τοῦ ἀετοῦ πρὸς τὸν πατριάρχην καὶ ὑποδείκνυσιν αὐτῷ ἀσπάσασθαι τὸ τοῦ πατριάρχου δεξιὸν γόνυ, τὴν δεξιὰν χεῖρα καὶ τὴν δεξιὰν παρειάν. Εἶτα ἀπέρχεται εἰς τοὺς ἀρχιερεῖς καὶ ἀσπάζεται αὐτοὺς εἰς τὸ στόμα. Καὶ
φ. 11r πάλιν ἵστησιν αὐτὸν ὁ μέγας χαρτοφύλαξ // ἐν τῷ συνήθει τόπῳ. Καὶ ὑποκλίνας αὖθις τὴν κεφαλὴν αὐτοῦ ἐκφωνεῖ· Κελεύσατε. Καὶ πάλιν ἀνιστάμενος ὁ πατριάρχης, ἔχων ὁμοίως καὶ τὴν χεῖρα ἐκτεταμένην, ἐκφωνεῖ· Ἡ χάρις τοῦ παναγίου Πνεύματος ἔσται μετὰ σοῦ.

Καὶ πάλιν οἱ ψάλται ψάλλουσι τρὶς τό· Εἰς πολλὰ ἔτη, δέσποτα. Καὶ οὕτω μικρὸν προπέμψας αὐτὸν ὁ

μέγας χαρτοφύλαξ, παραδίδωσι τοῖς ὑπηρέταις καὶ ἀπέρχονται σὺν αὐτῷ εἰς τὸ ἅγιον βῆμα. Κἀκεῖ φορέσας πᾶσαν τὴν ἱερατικὴν στολὴν καὶ ἐπιγονάτιον, κάθηται ἐν τῷ διακονικῷ. Οὔτε δὲ εἰς τὴν εἴσοδον ἐξέρχεται, οὔτε ἐκφώνησιν λέγει.

Οἱ δὲ ἀρχιερεῖς ἀνιστάμενοι καὶ προσκυνοῦντες τὸν πατριάρχην καὶ λαμβάνοντες εὐλογίαν, ἀπέρχονται ἐν τῷ συνήθει τόπῳ καὶ φορένουσιν.

Ὁ δὲ δευτερεύων τῶν διακόνων, πρότερον προσκυνήσας τρὶς κατὰ ἀνατολάς, λέγει* πρὸς ἑαυτόν· Ὁ
Θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ. // Εἶτα στρέφεται φ. 11v
πρὸς τὸν πατριάρχην καὶ ὑποκλίνας τὴν κεφαλὴν ἑαυτοῦ, κρατῶν καὶ τὸ ὠράριον τοῖς τρισὶ δακτύλοις τῆς δεξιᾶς χειρὸς καὶ ὑποδεικνὺς αὐτό, λέγει· Καιρὸς τοῦ ποιῆσαι τῷ Κυρίῳ· δέσποτα, εὐλόγησον. Καὶ ὁ πατριάρχης ἀνιστάμενος καὶ σφραγίζων αὐτὸν λέγει· Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε, νῦν καὶ... Εἶτα ὁ διάκονος· Εὖξαι* ὑπὲρ ἐμοῦ, δέσποτα. Καὶ ὁ πατριάρχης· Κατευθύναι Κύριος τὰ διαβήματά σου. Καὶ πάλιν ὁ διάκονος· Μνήσθητί μου, δέσποτα ἅγιε. Καὶ ὁ πατριάρχης· Μνησθείη σου Κύριος ὁ Θεὸς ἐν τῇ βασιλείᾳ αὐτοῦ.

Καὶ οὕτως ἀσπασάμενος ὁ διάκονος τὸ ὠράριον, ἀπέρχεται καὶ ἀσπάζεται τὴν χεῖρα τοῦ πατριάρχου καὶ λαμβάνει εὐλογίαν. Καὶ εὐθὺς ὁ πατριάρχης κατέρχεται καὶ ἵσταται ἐν τῷ συνήθει τόπῳ τοῦ μέρους τοῦ δεξιοῦ τῶν βασιλικῶν πυλῶν τοῦ ναοῦ καὶ χειροτονεῖ τοὺς ἀναγνώστας καὶ ὑποδιακόνους.

// Ὅπως γίνεται ἡ χειροτονία τῶν ἀναγνωστῶν φ. 12r

Προσάγεται τῷ πατριάρχῃ ὁ μέλλων χειροτονεῖσθαι ἀναγνώστης. Εἰ μὲν κοσμικός ἐστι, μετὰ ἱματίου, ἀσκεπής· εἰ δὲ μοναχός, μετὰ μανδύου. Καὶ σφραγίζεται τρίτον τὴν κεφαλὴν καὶ κείρεται παρ᾽ αὐτοῦ σταυροειδῶς λέγοντος· Εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος· ἐπιφωνούντων καθ᾽ ἑκάστην ἐπίκλησιν τῶν συμπαρόντων τό· Ἀμήν. Εἶτα τέλεον ὑπό τινος εἰς κληρικοῦ κείρεται σχῆμα. Καὶ οὕτω πάλιν προσάγεται τῷ πατριάρχῃ, ὃς λαβὼν φαινόλιον,

ἐνδιδύσκει αὐτόν, εἴπερ οὐκ ἔνι μοναχός. Καὶ τρίτον τὴν τούτου κεφαλὴν σφραγίζων, ἐπιτίθησιν αὐτῷ τὴν χεῖρα. Καὶ τοῦ διακόνου λέγοντος· Τοῦ Κυρίου δεηθῶμεν, ὁ πατριάρχης ἐπεύχεται·

φ. 12v

Κύριε, ὁ Θεὸς ὁ παντοκράτωρ, ἔκλεξαι τὸν δοῦλόν σου τοῦτον καὶ ἁγίασον αὐτόν· καὶ καταξίωσον μετὰ πάσης // σοφίας καὶ συνέσεως τῶν θείων σου λογίων τὴν μελέτην καὶ τὴν ἀνάγνωσιν ποιεῖσθαι, διαφυλάττων αὐτὸν ἐν ἀμέμπτῳ πολιτείᾳ.

Ἐκφώνησις· Ἐλέει καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ᾽ οὗ εὐλογητὸς εἶ σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Καὶ μετὰ τὴν ἐκφώνησιν δίδοται τῷ ἀναγνώστῃ βιβλίον ἀποστολικόν, καὶ ὀλίγον ἀναγινώσκων, λαμβάνει παρὰ τοῦ πατριάρχου εἰρήνην[16]. Εἰ δέ εἰσι* καὶ πλείονες οἱ χειροτονούμενοι ἀναγνῶσται, χειροτονοῦνται ὁμοῦ καὶ λέγεται καὶ ἡ εὐχὴ πληθυντικῶς. Ἡ δὲ τοῦ ὑποδιακόνου χειροτονία γίνεται οὕτως.

Ὅπως γίνεται ἡ τῶν ὑποδιακόνων χειροτονία

φ. 13r

Προσάγεται τῷ πατριάρχῃ ὁ ἀναγνώστης μετὰ φαινολίου, εἰ δὲ μοναχὸς ἔνι μετὰ τοῦ μανδύου. Κελεύει δὲ ὁ πατριάρχης ἀποδύσασθαι τοῦτον // τὸ φαινόλιον ἢ τὸ μανδύον καὶ ἐνδύσασθαι στιχάριον καὶ ζώσασθαι, κομισθῆναι δὲ καὶ χερνιβόξεστον καὶ μανδύλιον. Εἶτα σφραγίζων τρὶς τὴν αὐτοῦ κεφαλὴν καὶ ἐπιθεὶς αὐτῇ τὴν χεῖρα, τοῦ διακόνου λέγοντος· Τοῦ Κυρίου δεηθῶμεν, ὁ πατριάρχης εὔχεται οὕτως·

φ. 13v

Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ διὰ τοῦ ἑνὸς καὶ τοῦ αὐτοῦ ἁγίου Πνεύματος διαιρῶν ἑκάστῳ ὧν ἐξελέξω τὰ σὰ χαρίσματα, ὁ τάγματα διάφορα τῇ Ἐκκλησίᾳ σου δωρησάμενος καὶ βαθμοὺς λειτουργίας καταστησάμενος ἐν αὐτῇ πρὸς ὑπηρεσίαν τῶν ἁγίων καὶ ἀχράντων σου μυστηρίων, ὁ τῇ σῇ ἀρρήτῳ προγνώσει ὁρίσας καὶ τοῦτον τὸν δοῦλόν σου ἄξιον εἶναι τοῦ ὑπηρετεῖν τῇ ἁγίᾳ σου Ἐκκλησίᾳ, αὐτός, Δέσποτα, ἀκατάγνωστον αὐτὸν ἐν πᾶσι διαφύλαξον καὶ δὸς αὐτῷ ἀγαπᾶν εὐπρέπειαν οἴκου σου, παρε//στάναι ταῖς θύραις τοῦ ναοῦ

[16] Στὸ περιθώριο· Εἰ ἔστι ψάλτης, λέγει ἀπὸ τοῦ ψαλτηρίου προκείμενον.

τοῦ ἁγίου σου, ἀνάπτειν λύχνον σκηνώματος δόξης σου, καὶ φύτευσον αὐτὸν ἐν τῇ ἁγίᾳ σου Ἐκκλησίᾳ ὡς ἐλαίαν κατάκαρπον, καρποφοροῦντα καρπὸν δικαιοσύνης, καὶ τέλειον ἀνάδειξον δοῦλόν σου, ἐν καιρῷ τῆς παρουσίας σου τῆς τῶν εὐαρεστησάντων σοι ἀπολαύοντα ἀμοιβῆς.

Ἐκφώνησις· Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Καὶ μετὰ τὴν ἐκφώνησιν, δεχόμενος ὁ πατριάρχης τὸ μανδύλιον, ἐπιτίθησι τῷ ἀριστερῷ ὤμῳ τοῦ χειροτονουμένου. Ὁμοίως καὶ τὸ χερνιβόξεστον δίδωσιν αὐτῷ. Ὁ δὲ λαβών, ἀσπάζεται τὴν χεῖρα αὐτοῦ καὶ βάλλει ὕδωρ εἰς τὰς χεῖρας αὐτοῦ καὶ νίπτεται, λέγων καὶ τό· Ὅσοι πιστοί, τρίς. Καὶ οὕτω λαμβάνων εὐλογίαν, ἀπερχόμενος ἵσταται ἔμπροσθεν τῶν ἁγίων θυρῶν.

φ. 14r

Οὕτω[17] γίνεται καὶ εἴ περ εἰσὶ πολλοὶ χειροτονούμενοι ὑποδιάκονοι, τῆς εὐχῆς μόνον μικρὸν ὑπαλλασσο//μένης πρὸς πολλούς.

Ἰστέον δέ[18], ὅτι ὅτε οὐκ ἔστι χειροτονία ἀρχιερέως, ὁ δευτερεύων τῶν διακόνων οὐ λαμβάνει τὸν καιρὸν καθὼς εἴπομεν ἐν τῇ ἀναβάθρᾳ καθημένου τοῦ πατριάρχου, ἀλλὰ μετὰ τὸ φορέσαι τὸν πατριάρχην καὶ ἀπελθεῖν εἰς τὸν συνήθη τόπον πρὸ τῶν βασιλικῶν πυλῶν, λαμβάνει τὸν καιρόν, μετὰ τὴν τῶν ἀναγνωστῶν καὶ ὑποδιακόνων χειροτονίαν, καὶ οὕτω πέμπει διάκονον ἕτερον ὁ δευτερεύων ποιῆσαι τὴν ἔναρξιν τῆς λειτουργίας.

Ἀνερχόμενος τοίνυν ὁ διάκονος εἰς τὸν ἄμβωνα προσκυνεῖ κατέναντι τῶν ἁγίων θυρῶν τρίς, μετ᾽ εὐλαβείας, λέγων καθ᾽ ἑαυτὸν τό· Κύριε, τὰ χείλη μου ἀνοίξεις καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου. Καὶ οὕτως ἐκφωνεῖ· Εὐλόγησον, δέσποτα. Καὶ ἄρχεται ὁ δευτερεύων τῶν ἱερέων, ἢ ἕτερος ὁ τὴν προσκομιδὴν ποιήσας, λέγων· Εὐλογημένη ἡ βασιλεία τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ [ἁγίου Πνεύματος]...

φ. 14v

Εἶτα ὁ διάκονος· Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν. Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης καὶ τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν... Ὑπὲρ εἰρήνης τοῦ σύμπαντος κόσμου, εὐσταθείας τῶν... // Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου καὶ τῶν

[17] Σημείωσαι.

[18] Σημείωσαι.

μετὰ πίστεως, εὐλαβείας... Ὑπὲρ τοῦ ἀρχιεπισκόπου ἡμῶν, τοῦ τιμίου πρεσβυτερίου... Ὑπὲρ τῶν εὐσεβεστάτων καὶ θεοφυλάκτων ἡμῶν... Ὑπὲρ τοῦ συμπολεμῆσαι καὶ ὑποτάξαι ὑπὸ τοὺς... Ὑπὲρ τῆς πόλεως ταύτης, πάσης πόλεως, χώρας... Ὑπὲρ εὐκρασίας ἀέρων, εὐφορίας τῶν καρπῶν τῆς... Ὑπὲρ πλεόντων, ὁδοιπορούντων, νοσούντων... Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως... Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς... Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης δεσποίνης...

Τούτων δὲ λεγομένων, ὁ ἱερεὺς λέγει τὴν εὐχὴν τοῦ πρώτου ἀντιφώνου. Ἀνίσταται δὲ καὶ ὁ πατριάρχης καὶ λέγει τὰς εὐχὰς τῶν τριῶν ἀντιφώνων ὁμοῦ, λέγων καὶ τὰς ἐκφωνήσεις καθ᾽ ἑαυτόν, κρατοῦντος τὸ κοντάκιον τοῦ ἱερομνήμονος. Τὸ δὲ αὐτὸ τοῦτο ποιοῦσι καὶ οἱ ἀρχιερεῖς ἐν ᾧ ἵστανται τόπῳ.

Δεῖ δὲ γινώσκειν, ὅτι ὁ ποιήσας ἱερεὺς τὴν προσκομιδήν, αὐτὸς ποιεῖ καὶ τὴν ἔναρξιν τῆς λειτουργίας, αὐτὸς λέγει καὶ τὰς τρεῖς ἐκφωνήσεις.

φ. 15r // Εὐχὴ ἀντιφώνου α´·

Κύριε, ὁ Θεὸς ἡμῶν, οὗ τὸ κράτος ἀνείκαστον καὶ ἡ δόξα ἀκατάληπτος, οὗ τὸ ἔλεος ἀμέτρητον καὶ ἡ φιλανθρωπία ἄφατος, αὐτός, Δέσποτα, κατὰ τὴν εὐσπλαγχνίαν σου ἐπίβλεψον ἐφ᾽ ἡμᾶς καὶ ἐπὶ τὸν ἅγιον οἶκον τοῦτον, καὶ ποίησον μεθ᾽ ἡμῶν καὶ τῶν συνευχομένων ἡμῖν πλούσια τὰ ἐλέη σου καὶ τοὺς οἰκτιρμούς σου.

Καὶ μετὰ τὴν πλήρωσιν τῆς συναπτῆς ἐκφωνεῖ ὁ ἱερεύς· Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις...

Καὶ οἱ μὲν ψάλται ψάλλουσι τὸ πρῶτον ἀντίφωνον, ὁ δὲ ἱερεὺς λέγει τὴν εὐχὴν τοῦ δευτέρου ἀντιφώνου ταύτην.

Εὐχὴ ἀντιφώνου β´·

Κύριε, ὁ Θεὸς ἡμῶν, σῶσον τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου, τὸ πλήρωμα τῆς Ἐκκλησίας σου φύλαξον, ἁγίασον τοὺς ἀγαπῶντας τὴν εὐπρέπειαν τοῦ οἴκου σου, σὺ αὐτοὺς ἀντιδόξασον τῇ
φ. 15v θεϊκῇ σου // δυνάμει καὶ μὴ ἐγκαταλείπῃς ἡμᾶς τοὺς ἐλπίζοντας ἐπὶ σέ.

Μετὰ δὲ τὴν συμπλήρωσιν τοῦ πρώτου ἀντιφώνου,

ποιεῖ ὁ διάκονος μικρὰν συναπτήν· Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν. Ἀντιλαβοῦ, σῶσον... Τῆς παναγίας, ἀχράντου... Καὶ ὁ ἱερεὺς ἐκφωνεῖ· Ὅτι σὸν τὸ κράτος καὶ σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ...

Καὶ μετὰ τὴν ἐκφώνησιν, οἱ μὲν ψάλται ψάλλουσι τὸ δεύτερον ἀντίφωνον, ὁ δὲ ἱερεὺς λέγει τὴν εὐχὴν τοῦ τρίτου ἀντιφώνου.

Δεῖ δὲ γινώσκειν[19], ὅτι ψαλλομένου τοῦ δευτέρου ἀντιφώνου, ὁ μέγας χαρτοφύλαξ προσκυνῶν τὸν πατριάρχην, λαμβάνει τὸν ὑπομνηματογράφον καὶ τὸν ἱερομνήμονα, προοδοποιοῦντος τοῦ ἐπὶ τῆς εὐταξίας, καὶ ἀπερχόμενος προσκαλεῖται τοὺς ἀρχιερεῖς, οἳ καὶ ἐρχόμενοι καὶ προσκυνοῦντες κατὰ τάξιν καὶ κατὰ συζυγίαν, ἵστανται κατὰ τάξιν ἐξ ἀριστερῶν τοῦ πατριάρχου.

Εὐχὴ ἀντιφώνου γ´·

Ὁ τὰς κοινὰς ταύτας καὶ συμφώνους // ἡμῖν χαρι- φ. 16r
σάμενος προσευχάς, ὁ καὶ δύο καὶ τρισὶ συμφωνοῦσιν ἐπὶ τῷ ὀνόματί σου τὰς αἰτήσεις παρέχειν ἐπαγγειλάμενος, αὐτὸς καὶ νῦν τῶν δούλων σου τὰ αἰτήματα πρὸς τὸ συμφέρον πλήρωσον, χορηγῶν ἡμῖν ἐν τῷ παρόντι αἰῶνι τὴν ἐπίγνωσιν τῆς σῆς ἀληθείας, καὶ ἐν τῷ μέλλοντι ζωὴν αἰώνιον χαριζόμενος.

Μετὰ δὲ τὴν συμπλήρωσιν τοῦ β´ ἀντιφώνου, πάλιν ὁ διάκονος· Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ... Ἀντιλαβοῦ... Τῆς παναγίας, ἀχράντου... Καὶ ὁ ἱερεὺς ἐκφωνεῖ· Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ...

Καὶ οὕτω ψάλλουσιν οἱ ψάλται τὸ τρίτον ἀντίφωνον. Ὁ δὲ διάκονος ὁ ἐν τῷ ἄμβωνι, κατερχόμενος εἰσέρχεται εἰς τὸ ἅγιον βῆμα καὶ λαμβάνει τὸ Εὐαγγέλιον ἀπὸ τῶν χειρῶν τοῦ ἱερέως, καὶ ποιοῦσι τὴν εἴσοδον. Ὁ μὲν οὖν διάκονος ὁ κρατῶν τὸ ἅγιον Εὐαγγέλιον, ἐλθὼν ἐπιδίδωσιν αὐτὸ τῷ δευτερεύοντι τῶν διακόνων, ὁ δὲ ποιήσας τὴν // προσκομιδὴν ἱερεὺς ἐρ- φ. 16v
χόμενος καὶ προσκυνῶν τὸν πατριάρχην, λαμβάνει εὐλογίαν καὶ ἵσταται ἐξ ἀριστερῶν τῶν ἀρχιερέων, καὶ οἱ λοιποὶ ἱερεῖς κατὰ τάξιν, καὶ οἱ διάκονοι ὁμοίως ἐκ δεξιῶν τοῦ πατριάρχου κατὰ τάξιν.

19 Σημείωσαι.

Κλινόντων δὲ πάντων τὰς κεφαλάς, λέγει ὁ δευτερεύων· Τοῦ Κυρίου δεηθῶμεν, ἅμα καὶ τὸ ὠράριον κρατῶν τοῖς τρισὶ δακτύλοις τῆς δεξιᾶς χειρός. Καὶ λέγει ὁ πατριάρχης καὶ οἱ ἀρχιερεῖς καὶ οἱ ἱερεῖς τὴν εὐχὴν τῆς εἰσόδου μυστικῶς.

Εὐχὴ τῆς εἰσόδου·

Δέσποτα Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ καταστήσας ἐν οὐρανοῖς τάγματα καὶ στρατιὰς ἀγγέλων καὶ ἀρχαγγέλων εἰς λειτουργίαν τῆς σῆς δόξης, ποίησον σὺν τῇ εἰσόδῳ ἡμῶν εἴσοδον ἁγίων ἀγγέλων γενέσθαι, συλλειτουργούντων ἡμῖν καὶ συνδοξολογούντων τὴν σὴν ἀγαθότητα. Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις τῷ Πατρὶ καὶ...

Αὐτῆς δὲ τελεσθείσης, λέγει ὁ διάκονος πρὸς τὸν πατριάρχην· Εὐλόγησον, δέσποτα, τὴν ἁγίαν εἴσοδον,
φ. 17r δεικνύων ἅμα // καὶ πρὸς ἀνατολὰς μετὰ τοῦ ὠραρίου, οὕτως ὡς κρατεῖ αὐτό. Καὶ ὁ πατριάρχης ποιῶν σταυρὸν κατὰ ἀνατολὰς λέγει· Εὐλογημένη ἡ εἴσοδος τῶν ἁγίων σου, Κύριε, πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Εἶτα ἀσπάζεται τὸ ἅγιον Εὐαγγέλιον. Ὁ δὲ διάκονος, στὰς εἰς τὸ μέσον ἀντικρὺ τοῦ ἄμβωνος, ἀνυψοῖ τὰς χεῖρας μικρὸν καὶ δεικνύων τὸ Εὐαγγέλιον λέγει· Σοφία ὀρθοί. Καὶ οὕτω γίνεται ἡ εἴσοδος.

Οὕτω δὲ ὡς εἴποι ὁ διάκονος· Σοφία ὀρθοί, ἐκφωνοῦσιν οἱ ἐπισκοπιανοί· Εἰς πολλὰ ἔτη, δέσποτα. Ἐρχομένης δὲ τῆς εἰσόδου, κατὰ ἕνα ποταμὸν ἐκφωνοῦσιν οἱ αὐτοί· Εἰς πολλὰ ἔτη, δέσποτα. Ὅταν δὲ ἄρξωνται λέγειν τοῦτο, ἵστανται πάντες, καὶ ἀρχιερεῖς καὶ πρεσβύτεροι καὶ διάκονοι καὶ ὁ πατριάρχης αὐτός. Ὅταν δὲ προσκυνήσῃ τὰς ἁγίας εἰκόνας, ἄρχονται λέγειν οἱ ψάλται, εἷς καθ᾽ εἷς*· Εἰς πολλὰ ἔτη, δέσποτα, ἕως ἂν ἔλθῃ ἐν τῇ σωλίᾳ. Ἐρχόμενοι δὲ πάντες εἰς τὰς ἁγίας θύρας κατὰ συζυγίαν, ἐνταῦθα μερίζονται, καὶ ἀσπάζεται εἷς τὴν μίαν θύραν καὶ ὁ ἕτερος τὴν ἄλλην. Καὶ οὕτως εἰσέρχονται εἰς τὸ ἅγιον βῆμα.

φ. 17v // Οἱ δὲ διάκονοι ἀσπάζονται καὶ τὴν ἁγίαν τράπεζαν. Ὅταν δὲ φθάσῃ ὁ πατριάρχης εἰς τὰς ἁγίας θύρας, ἀσφαλίζουσιν αὐτὰς οἱ ὀστιάριοι καὶ ἀσπάζεται πρῶτον τὴν δεξιάν, εἶτα τὴν εὐώνυμον, καὶ οὕτως ἀνοί-

γουσιν αὐτὰς καὶ εἰσέρχεται. Καὶ ὄπισθεν αὐτοῦ, οἱ ἀρχιερεῖς καὶ οἱ ἱερεῖς ἀσπαζόμενοι καὶ αὐτοὶ τὰς ἁγίας θύρας, ὡς καὶ οἱ διάκονοι.

Ἅμα δὲ τῷ εἰσελθεῖν τὸν πατριάρχην, ὁ κανστρίσιος ἔχων προευτρεπισμένον τὸν θυμιατόν, βαλὼν ἐν αὐτῷ θυμίαμα, λέγει· Εὐλόγησον, δέσποτα, τὸ θυμίαμα. Ὁ δὲ εὐλογῶν αὐτὸ λέγει τὴν εὐχὴν τοῦ θυμιάματος καθ᾽ ἑαυτόν. Καὶ λαμβάνων τὸν θυμιατὸν ἀπὸ τῶν χειρῶν αὐτοῦ, θυμιᾷ κύκλῳ σταυροειδῶς τὴν ἁγίαν τράπεζαν, ψαλλόντων τῶν διακόνων τὸ ἀπολυτίκιον τῆς ἡμέρας. Καὶ ἀποδιδοὺς τὸν θυμιατὸν τῷ κανστρισίῳ, θυμιᾶται παρ᾽ αὐτοῦ.

Εἶτα λαμβάνει τὸ δικήριν ἀπ᾽ αὐτοῦ καὶ ἀνέρχεται εἰς τὴν κρηπῖδα τῆς ἁγίας τραπέζης καὶ κρατῶν τὸ δικήριν ἐν τῇ δεξιᾷ, ποιεῖ σταυροὺς τρεῖς ἄνωθεν τοῦ Εὐαγγελίου, τοῦ ἐπὶ τῆς τραπέζης κειμένου, λέγων
καθ᾽ ἑαυτόν· // Κύριε, Κύριε, ἐπίβλεψον ἐξ οὐρανοῦ φ. 18r
καὶ ἴδε καὶ ἐπίσκεψαι τὴν ἄμπελον ταύτην καὶ κατάρτισαι αὐτήν, ἣν ἐφύτευσεν ἡ δεξιά σου. Καὶ ἀποδίδωσι τὸ δικήριν τῷ κανστρισίῳ.

Ἰστέον[20], ὡς μετὰ τὴν εὐχὴν ταύτην, εἰ μή ἐστι* χειροτονία ἀρχιερέως, γίνεται ἡ φήμη τῶν βασιλέων καὶ τοῦ πατριάρχου, καθημένου τοῦ πατριάρχου ἐν τῷ σελίῳ αὐτοῦ. Εἰ δὲ χειροτονία ἐστί, γίνεται μετὰ τὸ τρισάγιον, ὡς προϊὼν εὑρήσῃς σαφέστερον.

Ὁ δὲ δευτερεύων τῶν διακόνων ἐρχόμενος ἔμπροσθεν τοῦ πατριάρχου, κλίνας τὴν κεφαλήν, κρατῶν ἅμα καὶ τὸ ὠράριον, ὡς πολλάκις εἴρηται, λέγει· Εὐλόγησον, δέσποτα, τὸν καιρὸν τοῦ Τρισαγίου. Ὁ δὲ πατριάρχης σφραγίζων αὐτὸν λέγει· Ὅτι ἅγιος εἶ, ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ...

Τοῦ δὲ κοντακίου πληρωθέντος παρὰ τῶν ψαλτῶν, λαβὼν τὸν καιρὸν τοῦ τρισαγίου διάκονος, ἐλθὼν ἐγγὺς τῶν ἁγίων θυρῶν, δείκνυσι τὸ ὠράριον αὐτοῦ τοῖς ἐκτὸς λέγων· Καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Καὶ ἄρχονται οἱ ψάλται τοῦ τρισαγίου. Ὁ δὲ πατριάρχης λέγει τὴν
εὐχὴν ταύτην, // λέγει δὲ καὶ τὴν ἐκφώνησιν αὐτῆς φ. 18v
μυστικῶς.

Εὐχὴ τοῦ τρισαγίου ὕμνου·

[20] Σημείωσαι.

Ὁ Θεὸς ὁ ἅγιος, ὁ ἐν ἁγίοις ἀναπαυόμενος, ὁ τρισαγίῳ φωνῇ ὑπὸ τῶν σεραφὶμ ἀνυμνούμενος καὶ ὑπὸ τῶν χερουβὶμ δοξολογούμενος καὶ ὑπὸ πάσης ἐπουρανίου δυνάμεως προσκυνούμενος· ὁ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγαγὼν τὰ σύμπαντα· ὁ κτίσας τὸν ἄνθρωπον κατ᾿ εἰκόνα σὴν καὶ ὁμοίωσιν καὶ παντί σου χαρίσματι κατακοσμήσας, καὶ διδοὺς αἰτοῦντι σοφίαν καὶ σύνεσιν καὶ μὴ παρορῶν ἁμαρτάνοντα, ἀλλὰ θέμενος ἐπὶ σωτηρίᾳ μετάνοιαν· ὁ καταξιώσας ἡμᾶς τοὺς ταπεινοὺς καὶ ἀναξίους δούλους σου καὶ ἐν τῇ ὥρᾳ ταύτῃ στῆναι κατενώπιον τῆς δόξης τοῦ ἁγίου σου φ. 19r θυσιαστηρίου καὶ τὴν ὀφειλο//μένην σοι προσκύνησιν καὶ δοξολογίαν προσάγειν· αὐτός, Δέσποτα, πρόσδεξαι καὶ ἐκ στόματος ἡμῶν τῶν ἁμαρτωλῶν τὸν τρισάγιον ὕμνον καὶ ἐπίσκεψαι ἡμᾶς ἐν τῇ χρηστότητί σου, συγχώρησον ἡμῖν πᾶν πλημμέλημα ἑκούσιόν τε καὶ ἀκούσιον, ἁγίασον ἡμῶν τὰς ψυχὰς καὶ τὰ σώματα, καὶ δὸς ἡμῖν ἐν ὁσιότητι λατρεύειν σοι πάσας τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν, πρεσβείαις τῆς Θεοτόκου καὶ πάντων τῶν ἁγίων τῶν ἀπ᾿ αἰῶνός σοι* εὐαρεστησάντων· ὅτι ἅγιος εἶ, ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Τελεσθείσης δὲ τῆς εὐχῆς καὶ τῆς ἐκφωνήσεως, φ. 19v ψαλλομένου τοῦ τρισαγίου τρὶς παρὰ τῶν ψαλτῶν, // ψάλλουσι τοῦτον καὶ οἱ ἱερεῖς καὶ οἱ διάκονοι ἅπαξ, τρὶς προσκυνοῦντες ἐν τῷ ψάλλειν αὐτόν. Εἶτα οἱ μὲν ψάλται λέγουσι τὸ Δόξα..., ὁ δὲ πατριάρχης λαβὼν τὸ τρικέριν ἀπὸ τοῦ κανστρισίου, ποιεῖ αὖθις σταυροὺς τρεῖς ἄνωθεν τοῦ Εὐαγγελίου, τοῦ ἐπὶ τῆς τραπέζης κειμένου, κρατῶν τὸ τρικέριν ἐν τῇ δεξιᾷ, καὶ λέγων καὶ τό· Κύριε, Κύριε, ἐπίβλεψον ἐξ οὐρανοῦ καὶ ἴδε καὶ ἐπίσκεψαι τὴν ἄμπελον ταύτην καὶ κατάρτισαι αὐτήν, ἣν ἐφύτευσεν ἡ δεξιά σου.

Πληρωθέντος δὲ τοῦ Δόξα..., ψάλλουσιν οἱ τοῦ βήματος τὸν τρισάγιον ὁμοίως. Καὶ ψάλλουσιν οἱ ψάλται πάλιν. Καὶ πάλιν οἱ τοῦ βήματος. Τοῦ δὲ τελευταίου τρισαγίου ψαλλομένου παρὰ τῶν τοῦ βήματος, ὁ πατριάρχης κατέχων τὸ τρικέριν ἐν τῇ δεξιᾷ, στρέφεται πρὸς δυσμὰς καὶ εὐλογεῖ τὸν λαὸν τρίς.

Πληρωθέντος[21] δὲ τοῦ τρισαγίου, καθήμενος ἐν τῷ σελίῳ αὐτοῦ μικρὸν ἀναπαύεται, εἰ ἔστι χειροτονία δηλονότι. Εἰ γὰρ μή ἐστι χειροτονία, ἀνέρχεται ἐν τῷ συνθρόνῳ μετὰ τῶν συλλειτουργούντων αὐτῷ ἀρχιερέων καὶ ἱερέων. Καὶ τούτων κατὰ τὴν ἰδίαν // τάξιν φ. 20r ἱσταμένων, καὶ τοῦ τρισαγίου παρ᾿ αὐτῶν ψαλλομένου, ὁ πατριάρχης βλέπων πρὸς δυσμάς, εὐλογεῖ μετὰ τοῦ τρικηρίου τὸν λαὸν τρίς. Ὅταν δὲ κινήσῃ ἀνέρχεσθαι εἰς τὸ σύνθρονον, ἀσπάζεται πρῶτον τὴν ἁγίαν τράπεζαν.

[21] Σημείωσαι.

Ὅπως ὁ ὑποψήφιος εἰς τὸ ἅγιον εἰσέρχεται βῆμα

Ὁ δὲ ὑποψήφιος ἵσταται ἐν τῷ διακονικῷ. Καὶ παραλαμβάνουσιν αὐτὸν ἐξ ἑκατέρου μέρους ὅ τε πρωτοπαπᾶς καὶ ὁ δευτερεύων τῶν ἱερέων. Καὶ ἐξερχόμενοι διὰ τῆς θύρας τοῦ διακονικοῦ, προπορευομένου τοῦ ἐπὶ τῆς εὐταξίας, διέρχονται διὰ τῆς σωλίας, μέχρις ἂν φθάσωσι εἰς τὰς ἁγίας θύρας. Ὅταν δὲ φθάσωσι τὰς ἁγίας θύρας, ἀπολύουσιν αὐτὸν οἱ πρεσβύτεροι καὶ παραλαμβάνουσιν αὐτὸν δύο ἀρχιερεῖς οἱ πρῶτοι. Καὶ προπορευομένου τοῦ ἱερομνήμονος καὶ τοῦ δευτερεύοντος τῶν διακόνων καὶ ψαλλόντων τό· Ἅγιοι μάρτυρες, οἱ καλῶς ἀθλήσαντες καὶ στεφανωθέντες, πρεσβεύσατε πρὸς Κύριον ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν, // στρέφουσιν φ. 20v αὐτὸν κύκλῳ τῆς ἁγίας τραπέζης τρίς. Καὶ ἀνίσταται ὁ πατριάρχης καὶ προσάγουσιν αὐτῷ τὸν χειροτονούμενον, ὃς καὶ σφραγιζόμενος τὴν κεφαλὴν τρὶς παρὰ τοῦ πατριάρχου, ἐρείσας τε* τὸ μέτωπον τῇ ἁγίᾳ τραπέζῃ, κλίνει καὶ ἀμφοτέρους τοὺς πόδας. Ὁ δὲ μέγας χαρτοφύλαξ ἐπιδίδωσι τῷ πατριάρχῃ τὸ λεγόμενον πτερόν, καὶ ἐκφωνεῖ· Πρόσχωμεν. Ὁ δὲ πατριάρχης λαβὼν τὸ πτερὸν τῇ ἀριστερᾷ χειρὶ καὶ τὴν δεξιὰν ἔχων ἐπικειμένην τῇ τοῦ χειροτονουμένου κεφαλῇ, ἀναγινώσκει τὰ ἐν τῷ πτερῷ γεγραμμένα εἰς ἐπήκοον πάντων, λέγων οὕτως·

Ψήφῳ καὶ δοκιμασίᾳ τῶν θεοφιλεστάτων μητροπολιτῶν καὶ τῶν ὁσιωτάτων ἀρχιεπισκόπων·

Ἡ θεία χάρις, ἡ πάντοτε τὰ ἀσθενῆ θεραπεύουσα καὶ τὰ ἐλλείποντα ἀναπληροῦσα, προχειρίζεται τὸν

δεῖνα, τὸν εὐλαβέστατον ἱερομόναχον μητροπολίτην
φ. 21r τῆς θεοσώστου πό//λεως τῆσδε· εὐξώμεθα οὖν ὑπὲρ
αὐτοῦ, ἵνα ἔλθῃ ἐπ' αὐτὸν ἡ χάρις τοῦ παναγίου
Πνεύματος.

Καὶ φωνοῦσι πάντες ἐκ τρίτου τό· Κύριε, ἐλέησον.
Εἶτα τὸ Εὐαγγέλιον ὁ πατριάρχης ἀναπτύσσων, ἐπι-
τίθησι τῷ τραχήλῳ καὶ τῇ κεφαλῇ αὐτοῦ, συνεφα-
πτομένων καὶ τῶν ἀρχιερέων πάντων. Πρὸ τοῦ τεθῆναι
δὲ τὸ Εὐαγγέλιον, σφραγίζει καὶ αὖθις τὴν κεφαλὴν
αὐτοῦ τρίς. Τοῦ δὲ Εὐαγγελίου τεθέντος, ὁ πατριάρ-
χης εὔχεται οὕτως·

Δέσποτα Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ νομοθετήσας ἡμῖν
διὰ τοῦ ἀποστόλου σου Παύλου βαθμῶν καὶ ταγμά-
των τάξιν εἰς τὸ ἐξυπηρετεῖσθαι καὶ λειτουργεῖν τοῖς
σεπτοῖς καὶ ἀχράντοις σου μυστηρίοις ἐν τῷ ἁγίῳ σου
θυσιαστηρίῳ, πρῶτον ἀποστόλους, δεύτερον προφήτας,
τρίτον διδασκάλους, αὐτός, Δέσποτα τῶν ἁπάντων, καὶ
τοῦτον τὸν ψηφισθέντα καὶ ἀξιωθέντα ὑπεισελθεῖν
φ. 21v τὸν εὐαγγελικὸν ζυγὸν // καὶ τὴν ἀρχιερατικὴν ἀξίαν
διὰ τῆς χειρὸς ἐμοῦ τοῦ ἁμαρτωλοῦ καὶ τῶν συμπα-
ρόντων λειτουργῶν καὶ συνεπισκόπων, τῇ ἐπιφοιτήσει
καὶ δυνάμει καὶ χάριτι τοῦ ἁγίου σου Πνεύματος,
ἐνίσχυσον ὡς ἐνίσχυσας τοὺς ἁγίους σου ἀποστόλους
καὶ προφήτας, ὡς ἔχρισας τοὺς βασιλεῖς, ὡς ἡγίασας
τοὺς ἀρχιερεῖς, καὶ ἀνεπίληπτον αὐτοῦ τὴν ἀρχιερω-
σύνην ἀπόδειξον, καὶ πάσῃ σεμνότητι κοσμῶν, ἅγιον
ἀνάδειξον, εἰς τὸ ἄξιον γενέσθαι τοῦ αἰτεῖν αὐτὸν τὰ
πρὸς σωτηρίαν τοῦ λαοῦ καὶ ἐπακούειν σε αὐτοῦ.

Ἐκφώνησις· Ὅτι ἡγίασταί σου τὸ ὄνομα, δεδόξασταί
σου ἡ βασιλεία, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου
Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Καὶ μετὰ τὴν ἐκφώνησιν, λέγει ὁ πρῶτος τῶν ἀρ-
χιερέων λεπτῇ φωνῇ, ὅσον ἀκούειν τοὺς συνόντας ἀρ-
φ. 22r χιερεῖς καὶ ἀπο//κρίνεσθαι, τὰ διακονικὰ ταῦτα·

Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν. Ὑπὲρ τῆς ἄνωθεν
εἰρήνης καὶ τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν τοῦ Κυρίου
δεηθῶμεν. Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου,
εὐσταθείας τῶν ἁγίων τοῦ Θεοῦ ἐκκλησιῶν καὶ τῆς τῶν
πάντων ἑνώσεως τοῦ Κυρίου δεηθῶμεν. Ὑπὲρ τοῦ ἀρ-
χιεπισκόπου ἡμῶν τοῦδε, ἱερωσύνης, ἀντιλήψεως, δια-

μονῆς, εἰρήνης, ὑγείας καὶ σωτηρίας αὐτοῦ καὶ τοῦ ἔργου
τῶν χειρῶν αὐτοῦ τοῦ Κυρίου δεηθῶμεν. Ὑπὲρ τοῦ
δούλου τοῦ Θεοῦ τοῦδε, τοῦ νυνὶ προχειριζομένου ἐπι-
σκόπου, καὶ τῆς σωτηρίας αὐτοῦ τοῦ Κυρίου δεηθῶμεν.
Ὅπως ὁ φιλάνθρωπος Θεὸς ἄσπιλον καὶ ἀμώμητον
αὐτῷ τὴν ἀρχιερωσύνην χαρίσηται, τοῦ Κυρίου δεηθῶ-
μεν. Ὑπὲρ τῶν εὐσεβεστάτων καὶ θεοφυλάκτων βα-
σιλέων ἡμῶν, παντὸς τοῦ παλατίου καὶ τοῦ στρατο-
πέδου αὐτῶν, τοῦ Κυρίου δεηθῶμεν. Ὑπὲρ τῆς πόλεως
ταύτης, πάσης πόλεως, χώρας καὶ τῶν πίστει οἰκούντων
ἐν αὐταῖς τοῦ Κυρίου δεηθῶμεν. Ὑπὲρ τοῦ ῥυσθῆναι
ἡμᾶς ἀπὸ πάσης θλίψεως, // ὀργῆς καὶ ἀνάγκης τοῦ φ. 22v
Κυρίου δεηθῶμεν. Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ δι-
αφύλαξον ἡμᾶς... Τῆς παναγίας, ἀχράντου, ὑπερευ-
λογημένης δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου
Μαρίας μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυ-
τοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ
τῷ Θεῷ παραθώμεθα.

Τούτων δὲ λεγομένων παρὰ τοῦ πρώτου τῶν ἀρ-
χιερέων, ὡς εἴρηται, ὁ πατριάρχης, ἔχων ὡσαύτως τῇ
τοῦ χειροτονουμένου κεφαλῇ τὴν χεῖρα ἐπικειμένην,
εὔχεται οὕτως·

Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ διὰ τὸ μὴ δύνασθαι τὴν
ἀνθρώπου φύσιν τὴν τῆς θεότητος ὑπενεγκεῖν οὐσίαν,
τῇ σῇ οἰκονομίᾳ ὁμοιοπαθεῖς ἡμῖν διδασκάλους κατα-
στήσας τὸν σὸν ἐπέχοντας θρόνον, εἰς τὸ ἀναφέρειν σοι
θυσίαν καὶ προσφορὰν ὑπὲρ παντὸς τοῦ λαοῦ σου, σύ,
Κύριε, καὶ τοῦτον, τὸν ἀναδειχθέντα οἰκονόμον τῆς
ἀρχιερατικῆς χάριτος, ποίησον γενέσθαι μι//μητὴν σοῦ φ. 23r
τοῦ ἀληθινοῦ ποιμένος, τιθέντα τὴν ψυχὴν αὐτοῦ
ὑπὲρ τῶν προβάτων σου, ὁδηγὸν τυφλῶν, φῶς τῶν ἐν
σκότει, παιδευτὴν ἀφρόνων, διδάσκαλον νηπίων, φω-
στῆρα ἐν κόσμῳ, ἵνα καταρτίσας ψυχὰς τὰς ἐμπιστευ-
θείσας αὐτῷ ἐπὶ τῆς παρούσης ζωῆς, παραστῇ τῷ
βήματί σου ἀκαταισχύντως καὶ τὸν μέγαν μισθὸν
κομίσηται, ὃν ἡτοίμασας τοῖς ἀθλήσασιν ὑπὲρ τοῦ κη-
ρύγματος τοῦ Εὐαγγελίου σου.

Ἐκφώνησις· Σὸν γάρ ἐστι τὸ ἐλεεῖν καὶ σῴζειν, ὁ
Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν σὺν τῷ
ἀνάρχῳ σου Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι νῦν καὶ ἀεὶ

καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Καὶ μετὰ τὸ Ἀμήν, αἴρει τὸ Εὐαγγέλιον ὁ πατριάρχης, καὶ τίθησιν εἰς τὴν ἁγίαν τράπεζαν. Εἶτα λαβὼν τὸ ὠμοφόριον, περιτίθησι τῷ τραχήλῳ τοῦ χειροτονουμένου λέγων· Ἄξιος. Λέγουσι δὲ τοῦτο οἱ τοῦ βήματος τρίς. // φ. 23v Οἱ ψάλται τρίς. Εἶτα πάλιν ἐκφωνοῦσιν οἱ ψάλται, εἷς καθ' εἷς*· Ἄξιος. Καὶ οὕτως ἀσπάζονται τὸν χειροτονηθέντα, αὐτός τε* ὁ πατριάρχης καὶ οἱ ἀρχιερεῖς πάντες. Καὶ πάλιν ὁ πατριάρχης καὶ οἱ ἀρχιερεῖς ἀσπαζόμενοι τὴν ἁγίαν τράπεζαν, ἀνέρχονται ἐν τῷ συνθρόνῳ.

Καὶ λέγει ὁ διάκονος πρὸς τὸν πατριάρχην· Κέλευσον, δέσποτα. Καὶ ὁ πατριάρχης λέγει· Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου. Εἶτα πάλιν ὁ διάκονος· Εὐλόγησον, δέσποτα, τὴν ἄνω καθέδραν. Καὶ ὁ πατριάρχης λέγει· Εὐλογημένος εἶ ὁ καθήμενος ἐπὶ θρόνου δόξης τῆς βασιλείας σου, πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Καὶ εὐθὺς ὁ μὲν πατριάρχης κάθηται· ἐν τῷ συνθρόνῳ, γίνεται δὲ ἡ φήμη τῶν βασιλέων καὶ τοῦ πατριάρχου.

Ἰστέον δὲ[22] ὅτι, ὅτε οὐκ ἔνι χειροτονία ἀρχιερέως, γίνεται ἡ φήμη πρότερον (μετὰ τὸ εἰσελθεῖν τὸν πατριάρχην μετὰ τῆς εἰσόδου καὶ θυμιάσαι τὴν ἁγίαν τράπεζαν κύκλῳ καὶ σφραγίσαι μετὰ τοῦ δικηρίου ἐπάνω τοῦ ἁγίου Εὐαγγελίου, καθημένου ἐν τῷ σελίῳ αὐτοῦ) γίνεται ἡ φήμη. Καὶ μετὰ τὴν φήμην, ἐκφωνεῖ ὁ δομέστικος· Κύριε, σῶσον τοὺς βασιλεῖς. Καὶ ὁ ἕτερος· Καὶ ἐπάκουσον ἡμῶν. Καὶ ὁ ἄρχων τῶν // φ. 24r κοντακίων· Δόξα... Καὶ ψάλλεται τὸ κοντάκιον τῆς ἡμέρας καὶ εὐθὺς τὸ τρισάγιον.

[22] Σημείωσαι.

Ἐν δὲ τῷ συνθρόνῳ ἀνελθόντος τοῦ πατριάρχου, ὁ χειροτονηθεὶς ἀρχιερεὺς προσελθὼν αὐτῷ καὶ προσκυνήσας καὶ λαβὼν εὐλογίαν, κάθηται ἐν τῷ δεξιῷ μέρει, ἐπάνω τοῦ πρώτου τῶν ἀρχιερέων.

Καὶ λέγει ὁ διάκονος· Πρόσχωμεν. Ὁ πατριάρχης· Εἰρήνη πᾶσιν. Ὁ διάκονος· Σοφία. Ὁ ἀναγνώστης ἐν τῷ ἄμβωνι· Ψαλμὸς τῷ Δαβίδ. Ὁ διάκονος· Πρόσχωμεν. Καὶ λέγει ὁ ἀναγνώστης τὸ προκείμενον τοῦ ἀποστόλου. Ὁ διάκονος· Σοφία. Ὁ ἀναγνώστης τὴν ἐπιγραφὴν τοῦ ἀποστόλου· Ὁ διάκονος· Πρόσχωμεν. Ὁ ἀναγνώστης

ἀναγινώσκει τὸν ἀπόστολον. Μετὰ δὲ τὴν πλήρωσιν τοῦ ἀποστόλου, ἐκφωνεῖ ὁ λαβὼν ἀρχιερεὺς τὴν εὐλογίαν· Εἰρήνη σοι. Ὁ διάκονος· Σοφία. Ὁ ψάλτης· Ἀλληλούϊα, ψαλμὸς τῷ Δαβίδ. Ὁ διάκονος· Πρόσχωμεν.

Πρὸ δὲ τούτου[23], λεγομένου ἔτι τοῦ ἀποστόλου, εἷς τῶν διακόνων λαβὼν τὸ θυμιατήριον καὶ θυμίαμα βαλών, πρόσεισι τῷ πατριάρχῃ λέγων· Εὐλόγησον, δέσποτα, τὸ θυμίαμα. Τοῦ δὲ συνήθως εὐλογήσαντος, θυμιᾷ ὁ διάκονος τὴν ἁγίαν τράπεζαν κύκλῳ, εἶτα τὸν πατριάρχην, τοὺς ἀρχιερεῖς, τοὺς πρεσ//βυτέρους φ. 24v καὶ διακόνους καὶ αὖθις τὸν πατριάρχην καὶ τὴν ἁγίαν τράπεζαν ἔμπροσθεν μόνον.

[23] Σημείωσαι.

Τοῦ δὲ ἀλληλούϊα ψαλλομένου, ὁ μέλλων ἀναγινώσκειν τὸ Εὐαγγέλιον διάκονος, προσκυνήσας τρὶς ἔμπροσθεν τῆς ἁγίας τραπέζης, εἶτα ἀνελθὼν εἰς τὴν κρηπῖδα καὶ ὑποκλίνας τὴν κεφαλὴν τῷ πατριάρχῃ, ὑποδεικνὺς ἅμα καὶ τὸ ὡράριον συνήθως τῇ δεξιᾷ χειρὶ ἄνωθεν τοῦ Εὐαγγελίου, λέγει· Εὐλόγησον, δέσποτα, τὸν εὐαγγελιστὴν τοῦδε, τοῦ ἁγίου ἀποστόλου καὶ εὐαγγελιστοῦ. Καὶ ἀνιστάμενος ὁ πατριάρχης καὶ σφραγίζων αὐτὸν λέγει· Ὁ Θεός, διὰ πρεσβειῶν τοῦ ἁγίου, ἐνδόξου, πανευφήμου ἀποστόλου καὶ εὐαγγελιστοῦ τοῦδε, δῴη σοι ῥῆμα εἰς τὸ εὐαγγελίσασθαι δυνάμει πολλῇ. Καὶ οὕτως ὁ μὲν διάκονος εἰπὼν τό· Εἰς πολλὰ ἔτη, δέσποτα, λαβὼν ἀνὰ χεῖρας τὸ Εὐαγγέλιον, ἐξέρχεται, προπορευομένων αὐτοῦ διακόνων τεσσάρων, καὶ ἀνέρχεται ἐν τῷ ἄμβωνι· ὁ δὲ πατριάρχης, ἐκβαλὼν τὸ ὠμοφόριον, στρέφεται πρὸς ἀνατολὰς καὶ λέγει καθ' ἑαυτόν· Κλῖνον, Κύριε, τὸ οὖς σου καὶ ἐπάκουσόν μου... καὶ λέγει τὸν ψαλμὸν ὅλον. Εἶτα ἀσπάζεται τὴν αὐτόθι ἱσταμένην // φ. 25r ἁγίαν εἰκόνα. Καὶ οὕτω στρέφεται πρὸς δυσμάς, περιμένων τὴν πλήρωσιν τοῦ Εὐαγγελίου.

Ὁ δὲ δευτερεύων τῶν διακόνων, κατέχων ἐν τῇ ἀριστερᾷ χειρὶ τὸ ὠμοφόριον τοῦ πατριάρχου, μετὰ τὸ πληρωθῆναι τὸ ἀλληλούϊα, ἐκφωνεῖ· Σοφία· ὀρθοί, ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου. Λέγων δὲ τοῦτο βλέπει πρὸς δυσμάς, ἤγουν πρὸς τὸν ἐν τῷ ἄμβωνι διάκονον. Καὶ ἀποκρίνεται ὁ τὸ Εὐαγγέλιον ἀναγνῶναι μέλλων ἀπὸ τοῦ ἄμβωνος· Ἐκ τοῦ κατὰ τόνδε ἁγίου

Εὐαγγελίου τὸ ἀνάγνωσμα. Καὶ αὖθις ὁ ἀπὸ τοῦ βήματος διάκονος· Πρόσχωμεν. Ἐκβάλλουσι δὲ καὶ οἱ ἀρχιερεῖς πάντες τὰ ὠμοφόρια αὐτῶν.

Δεῖ δὲ γινώσκειν[24], ὅτι μετὰ τὸ ἐκβαλεῖν τὸν πατριάρχην τὸ ὠμοφόριον ψαλλομένου τοῦ ἀλληλούϊα, πλέον οὐκ ἐνδύεται αὐτό, εἰ μὴ κατὰ τὸν καιρὸν τῆς τῶν ἁγίων μυστηρίων ὑψώσεως, πρὶν εἰπεῖν τὸν διάκονον τό· Πρόσχωμεν. Εἰ δὲ ἔνι μεταξὺ χειροτονία ἢ πρεσβυτέρου ἢ διακόνου, ἐνδύεται αὐτὸ κατὰ τὸν καιρὸν τῆς χειροτονίας μόνον καὶ πάλιν ἀποδύεται αὐτὸ μέχρι τοῦ καιροῦ τῆς ὑψώσεως τῶν ἁγίων. // Τότε δὲ αὐτὸ ἐνδυόμενος φορεῖ τοῦτο μέχρι τέλους τῆς λειτουργίας· Οἱ δὲ ἀρχιερεῖς[25], ἐν τῷ καιρῷ μὲν τῆς χειροτονίας οὐκ ἐνδύονται τὰ ὠμοφόρια ἑαυτῶν, ἀπὸ δὲ τοῦ καιροῦ τῆς τῶν ἁγίων ὑψώσεως ἐνδυόμενοι, φοροῦσι ταῦτα μέχρι τέλους τῆς λειτουργίας.

[24] Σημείωσαι.

φ. 25v

[25] Στὸ περιθώριο· Οἱ συλλειτουργοῦντες δηλονότι τῷ πατριάρχῃ, ἰδίᾳ γὰρ καὶ αὐτοὶ λειτουργοῦντες, τὰ αὐτὰ ποιοῦσι τῷ πατριάρχῃ.

Τοῦ δὲ Εὐαγγελίου πληρωθέντος, λέγει ὁ πατριάρχης πρὸς τὸν διάκονον· Εἰρήνη σοι. Καὶ κατέρχεται τοῦ συνθρόνου. Ὁ δὲ ἀναγνοὺς τὸ Εὐαγγέλιον διάκονος κατερχόμενος τοῦ ἄμβωνος, πρόσεισι τῷ πατριάρχῃ, ἄρτι κατελθόντι τοῦ συνθρόνου καὶ ἐγγίζοντι τῇ ἁγίᾳ τραπέζῃ, καὶ δίδωσιν αὐτῷ ἀσπάσασθαι τὸ Εὐαγγέλιον. Ὁ δὲ ἀσπασάμενος αὐτὸ καὶ εἰπὼν πρὸς αὐτόν· Σωθείης, καὶ εὐλογήσας αὐτόν, ἵσταται μικρὸν αὐτόθι.

Ἄρχεται δὲ ὁ πρῶτος τῶν διακόνων τῶν ἐν τῷ ἄμβωνι ἱσταμένων τῆς ἐκτενῆς λέγων οὕτως· Εἴπωμεν πάντες· ἐξ ὅλης τῆς ψυχῆς καὶ ἐξ ὅλης τῆς διανοίας ἡμῶν εἴπωμεν. Κύριε παντοκράτορ*, ὁ Θεὸς τῶν πατέρων ἡμῶν, δεόμεθά σου: Ἐπάκουσον καὶ... Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, Κύριε, ἐπάκουσον // καὶ ἐλέησον. Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβεστάτων καὶ θεοφυλάκτων βασιλέων ἡμῶν, κράτους, νίκης, διαμονῆς, εἰρήνης, ὑγείας καὶ σωτηρίας αὐτῶν καὶ τοῦ Κύριον...

φ. 26r

Τούτου δὲ λεγομένου, ὁ πατριάρχης ἀνέρχεται εἰς τὴν μικρὰν ἀναβάθραν, κειμένην ἔνδον τῶν ἁγίων θυρῶν, καὶ εὐλογεῖ τὸν λαὸν σφραγίζων αὐτὸν τρὶς μετὰ τοῦ τρικηρίου, ἐκφωνούντων τῶν ψαλτῶν τό· Κύριε, ἐλέησον, τρίς, ἐν τῇ ὑπὲρ τῶν βασιλέων ἐκτενῇ. Εἶτα ὑποστρέφων ἵσταται ἐν τῇ κρηπῖδι τῆς ἁγίας τραπέζης

καὶ λέγει τὴν εὐχὴν ταύτην.

Εὐχὴ τῆς ἐκτενοῦς ἱκεσίας·

Κύριε, ὁ Θεὸς ἡμῶν, τὴν ἐκτενῆ ταύτην ἱκεσίαν πρόσδεξαι παρὰ τῶν σῶν δούλων καὶ ἐλέησον ἡμᾶς κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου, καὶ τοὺς οἰκτιρμούς σου κατάπεμψον ἐφ᾽ ἡμᾶς καὶ ἐπὶ πάντα τὸν λαόν σου, τὸν ἀπεκδεχόμενον τὸ παρὰ σοῦ πλούσιον ἔλεος[26].

[26] Στὸ περιθώριο· Ταῦτα λέγουσι καὶ πάντες οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι, τοῦ χειροτονηθέντος ἀρχιερέως ἱσταμένου πρώτου πρὸ τῶν ἄλλων ἁπάντων.

φ. 26v

Ταύτης δὲ λεγομένης παρὰ τοῦ πατριάρχου, ὁ διάκονος λέγει τὰ λοιπὰ τῆς ἐκτενῆς· Ἔτι δεόμεθα ὑπὲρ // τῶν εὐσεβεστάτων καὶ φιλοχρίστων βασιλέων ἡμῶν τῶνδε. Ἔτι δεόμεθα ὑπὲρ τοῦ ἀρχιεπισκόπου ἡμῶν τοῦδε.

Ἰστέον, ὡς εἰ ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ τελεῖται ἡ λειτουργία, μετὰ τοῦτο ἐκφωνεῖ ὁ πατριάρχης, εἰ δ᾽ ἐν ἑτέρᾳ, μνημονεύει ὁ διάκονος τῶν τε κτητόρων καὶ ἑτέρων τινῶν, ὧν ἔχει συνήθη, καὶ οὕτως ἐκφωνεῖ ὁ πατριάρχης· Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς...

Καὶ μετὰ τὸ Ἀμήν, ὁ μὲν πρῶτος διάκονος προσκυνήσας καὶ κατελθών, εἰσέρχεται ἐν τῷ βήματι, ἄρχεται δὲ ὁ δεύτερος ἐν τῷ ἄμβωνι· Εὔξασθε, οἱ κατηχούμενοι, τῷ Κυρίῳ.Οἱ πιστοὶ ὑπὲρ τῶν κατηχουμένων δεηθῶμεν, ἵνα ὁ Κύριος αὐτοὺς ἐλεήσῃ. Κατηχήσῃ αὐτοὺς τὸν λόγον τῆς ἀληθείας. Ἀποκαλύψῃ αὐτοῖς τὸ Εὐαγγέλιον τῆς... Ἑνώσῃ αὐτοὺς τῇ ἁγίᾳ αὐτοῦ καθολικῇ καὶ ἀποστολικῇ... Σῶσον, ἐλέησον, ἀντιλαβοῦ καὶ διαφύλαξον αὐτούς... Οἱ κατηχούμενοι, τὰς κεφαλὰς ὑμῶν τῷ Κυρίῳ κλίνατε.

Τούτων δὲ λεγομένων, ὁ πατριάρχης λέγει τὴν εὐχὴν ταύτην.

// Εὐχὴ κατηχουμένων, πρὸ τῆς ἁγίας ἀναφορᾶς·

φ. 27r

Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ ἐν ὑψηλοῖς κατοικῶν καὶ τὰ ταπεινὰ ἐφορῶν, ὁ τὴν σωτηρίαν τῷ γένει τῶν ἀνθρώπων ἐξαποστείλας, τὸν μονογενῆ σου Υἱὸν καὶ Θεόν, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, ἐπίβλεψον ἐπὶ τοὺς δούλους σου τοὺς κατηχουμένους, τοὺς ὑποκεκλικότας σοι τὸν ἑαυτῶν αὐχένα, καὶ καταξίωσον αὐτοὺς ἐν και-

ρῷ εὐθέτῳ τοῦ λουτροῦ τῆς παλιγγενεσίας, τῆς ἀφέσεως τῶν ἁμαρτιῶν καὶ τοῦ ἐνδύματος τῆς ἀφθαρσίας· ἕνωσον αὐτοὺς τῇ ἁγίᾳ σου καθολικῇ καὶ ἀποστολικῇ Ἐκκλησίᾳ, καὶ συγκαταρίθμησον αὐτοὺς τῇ ἐκλεκτῇ σου ποίμνῃ.

Πληρωθέντων δὲ τῶν διακονικῶν τῶν κατηχουμένων, ἐκφωνεῖ ὁ χειροτονηθεὶς ἀρχιερεὺς οὕτως· ἤ, εἰ μή ἐστι* χειροτονία, λέγει ταύτην ὁ πρῶτος τῶν ἀρχιερέων.

Ἐκφώνησις· Ἵνα καὶ αὐτοὶ σὺν ἡμῖν δοξάζωσι τὸ
φ. 27v πάντιμον // καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρὸς καὶ τοῦ...

Καὶ μετὰ τὸ Ἀμήν, προσκυνήσας ὁμοίως καὶ ὁ δεύτερος διάκονος, κατέρχεται. Ἄρχεται δὲ ὁ τρίτος· Ὅσοι κατηχούμενοι, προέλθετε· οἱ κατηχούμενοι, προέλθετε· ὅσοι κατηχούμενοι, προέλθετε· μή τις τῶν κατηχουμένων· ὅσοι πιστοί, ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν. Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης καὶ τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν τοῦ... Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, εὐσταθείας...

Ταῦτα δὲ λέγοντος τοῦ διακόνου, οἱ ἐν τῷ βήματι διάκονοι ὑφαπλοῦσι τὸ εἰλητόν. Ὁ δὲ πατριάρχης λέγει τὴν εὐχὴν ταύτην.

Εὐχὴ πιστῶν α´, μετὰ τὸ ἁπλωθῆναι τὸ εἰλητόν·

Εὐχαριστοῦμέν σοι, Κύριε, ὁ Θεὸς τῶν δυνάμεων, τῷ καταξιώσαντι ἡμᾶς παραστῆναι καὶ νῦν τῷ ἁγίῳ σου θυσιαστηρίῳ καὶ προσπεσεῖν τοῖς οἰκτιρμοῖς σου ὑπὲρ τῶν ἡμετέρων ἁμαρτημάτων καὶ τῶν τοῦ λαοῦ
φ. 28r ἀγνοημάτων. Πρόσδεξαι, ὁ Θεός, τὴν // δέησιν ἡμῶν, ποίησον ἡμᾶς ἀξίους γενέσθαι τοῦ προσφέρειν σοι δεήσεις καὶ ἱκεσίας καὶ θυσίας ἀναιμάκτους ὑπὲρ παντὸς τοῦ λαοῦ σου, καὶ ἱκάνωσον ἡμᾶς, οὓς ἔθου εἰς τὴν διακονίαν σου ταύτην ἐν τῇ δυνάμει τοῦ Πνεύματός σου τοῦ ἁγίου, ἀκαταγνώστως καὶ ἀπροσκόπως, ἐν καθαρῷ τῷ μαρτυρίῳ τῆς συνειδήσεως ἡμῶν ἐπικαλεῖσθαί σε ἐν παντὶ καιρῷ καὶ τόπῳ, ἵνα, εἰσακούων ἡμῶν, ἵλεως ἡμῖν εἴης ἐν τῷ πλήθει τῆς σῆς ἀγαθότητος.

Τοῦ δὲ πατριάρχου τὴν εὐχὴν πληρώσαντος, νεύει τις τῶν ἐν τῷ βήματι διακόνων τῷ ἐν τῷ ἄμβωνι διακόνῳ καὶ εὐθὺς λέγει· Σοφία. Καὶ ἐκφωνεῖ ἕτερος ἀρχιερεύς, ὁ πρῶτος δηλονότι μετὰ τὸν χειροτονηθέντα,

ἤ, εἰ μή ἐστι* χειροτονία, ὁ δεύτερος, τὴν ἐκφώνησιν ταύτην.

Ἐκφώνησις· Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ...

// Καὶ μετὰ τὸ Ἀμήν, ὁ μὲν τρίτος διάκονος, προ- φ. 28v
σκυνήσας κατέρχεται. Ἄρχεται δὲ ὁ τέταρτος λέγων· Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν. Ὑπὲρ τῆς πόλεως ταύτης, πάσης πόλεως, χώρας καὶ τῶν... Ὑπὲρ εὐκρασίας ἀέρων, εὐφορίας τῶν καρπῶν τῆς γῆς... Ταῦτα δὲ τοῦ διακόνου λέγοντος, ὁ πατριάρχης λέγει τὴν εὐχὴν ταύτην.

Εὐχὴ πιστῶν δεύτερα·

Πάλιν καὶ πολλάκις σοὶ προσπίπτομεν καὶ σοῦ δεόμεθα, ἀγαθὲ καὶ φιλάνθρωπε, ὅπως, ἐπιβλέψας ἐπὶ τὴν δέησιν ἡμῶν, καθαρίσῃς ἡμῶν τὰς ψυχὰς καὶ τὰ σώματα ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος, καὶ δῴης ἡμῖν ἀνένοχον καὶ ἀκατάκριτον τὴν παράστασιν τοῦ ἁγίου σου θυσιαστηρίου. Χάρισαι δέ, ὁ Θεός, καὶ τοῖς συνευχομένοις ἡμῖν προκοπὴν βίου καὶ πίστεως καὶ συνέσεως πνευματικῆς· δὸς αὐτοῖς, πάντοτε
μετὰ φόβου καὶ ἀγάπης λατρεύουσί σοι, // ἀνενόχως φ. 29r
καὶ ἀκατακρίτως μετέχειν τῶν ἁγίων σου μυστηρίων καὶ τῆς ἐπουρανίου σου βασιλείας ἀξιωθῆναι.

Ταύτην δὲ τοῦ πατριάρχου πληρώσαντος, αἰσθόμενος ὁ ἐν ἄμβωνι διάκονος, εὐθὺς λέγει· Σοφία. Καὶ ὁ πατριάρχης ἐκφωνεῖ τὴν ἐκφώνησιν ταύτην.

Ἐκφώνησις· Ὅπως ὑπὸ τοῦ κράτους σου πάντοτε φυλαττόμενοι, σοὶ δόξαν ἀναπέμπωμεν, τῷ Πατρὶ...

Καὶ ἄρχονται οἱ ψάλται τοῦ χερουβικοῦ ὕμνου. Ὁ δὲ καστρίσιος, λαβὼν τὸν θυμιατὸν καὶ θυμίαμα βαλών, πρόσεισι τῷ πατριάρχῃ καὶ τυχὼν εὐλογίας ἐπὶ τῷ θυμιάματι, θυμιᾷ σταυροειδῶς κύκλῳ τὴν ἁγίαν τράπεζαν καὶ τὸν πατριάρχην. Ὁ δὲ πατριάρχης, τοῦ χερουβικοῦ ᾀδομένου, λέγει καθ᾽ ἑαυτὸν τὴν εὐχὴν ταύτην.

Εὐχὴ τοῦ χερουβικοῦ ὕμνου·

Οὐδεὶς ἄξιος τῶν συνδεδεμένων ταῖς σαρκικαῖς ἐπιθυμίαις καὶ ἡδοναῖς, προσέρχεσθαι ἢ προσεγγίζειν ἢ
λειτουργεῖν σοι, βασιλεῦ τῆς δόξης· τὸ γὰρ δια//κονεῖν φ. 29v

σοι μέγα καὶ φοβερὸν καὶ αὐταῖς ταῖς ἐπουρανίοις δυνάμεσιν. Ἀλλ' ὅμως, διὰ τὴν ἄφατον καὶ ἄμετρόν σου φιλανθρωπίαν ἀτρέπτως καὶ ἀναλλοιώτως γέγονας ἄνθρωπος καὶ ἀρχιερεὺς ἡμῶν ἐχρημάτισας καὶ τῆς λειτουργικῆς ταύτης καὶ ἀναιμάκτου θυσίας τὴν ἱερουργίαν παρέδωκας ἡμῖν, ὡς δεσπότης τῶν ἁπάντων. Σὺ γὰρ μόνος, Κύριε, ὁ Θεὸς ἡμῶν, δεσπόζεις τῶν ἐπουρανίων καὶ τῶν ἐπιγείων, ὁ ἐπὶ θρόνου χερουβικοῦ ἐποχούμενος, ὁ τῶν σεραφὶμ κύριος καὶ βασιλεὺς τοῦ Ἰσραήλ, ὁ μόνος ἅγιος καὶ ἐν ἁγίοις ἀναπαυόμενος. Σὲ τοίνυν δυσωπῶ, τὸν μόνον ἀγαθὸν καὶ εὐήκοον· Ἐπίβλεψον ἐπ' ἐμὲ τὸν ἁμαρτωλὸν καὶ ἀχρεῖον δοῦλόν
φ. 30r σου καὶ καθάρισόν μου τὴν ψυχὴν καὶ // τὴν καρδίαν ἀπὸ συνειδήσεως πονηρᾶς· καὶ ἱκάνωσόν με τῇ δυνάμει τοῦ ἁγίου σου Πνεύματος, ἐνδεδυμένον τὴν τῆς ἱερατείας χάριν, παραστῆναι τῇ ἁγίᾳ σου ταύτῃ τραπέζῃ καὶ ἱερουργῆσαι τὸ ἅγιον καὶ ἄχραντόν σου σῶμα καὶ τὸ τίμιον αἷμα. Σοὶ γὰρ προσέρχομαι κλίνας τὸν ἐμαυτοῦ αὐχένα καὶ δέομαί σου· Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ, μηδὲ ἀποδοκιμάσῃς με ἐκ παίδων σου, ἀλλ' ἀξίωσον προσενεχθῆναί σοι ὑπ' ἐμοῦ τοῦ ἁμαρτωλοῦ καὶ ἀναξίου δούλου σου τὰ δῶρα ταῦτα. Σὺ γὰρ εἶ ὁ προσφέρων καὶ προσφερόμενος καὶ προσδεχόμενος καὶ διαδιδόμενος, Χριστέ, ὁ Θεὸς ἡμῶν, καὶ
φ. 30v σοὶ τὴν δόξαν ἀναπέμπομεν σὺν τῷ // ἀνάρχῳ σου Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ταύτην οὖν τελέσας ὁ πατριάρχης, ἀπέρχεται εἰς τὰς ἁγίας θύρας καὶ λαμβάνει νίψιμον παρὰ τῶν ὑποδιακόνων. Ὑποστρέφων δέ, ἵσταται ἔμπροσθεν τῆς ἁγίας τραπέζης, λέγων καθ' ἑαυτὸν τὸ χερουβικόν, τρὶς προσκυνῶν ἐν τῷ λέγειν αὐτό. Εἶτα στρέφεται πρὸς δυσμὰς περιμένων τὴν τῶν ἁγίων εἴσοδον.

Οἱ δὲ ἀρχιερεῖς, καὶ αὐτοὶ ἀπονιπτόμενοι, ἵστανται ἐξ ἑκατέρου μέρους τοῦ βήματος ἀπὸ τῶν ἁγίων θυρῶν μέχρι τῆς ἁγίας τραπέζης. Ὁ δὲ κανστρίσιος ἐν τῷ θυμιᾶν, λέγων καθ' ἑαυτὸν τό· Ἐλέησόν με ὁ Θεός..., ἀπέρχεται ἐν τῇ προθέσει μετὰ καὶ τῶν λοιπῶν πρεσβυτέρων καὶ διακόνων καὶ θυμιᾷ τὰ ἅγια.

Καὶ εἰπὼν καθ' ἑαυτὸν τό· Ὁ Θεός, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ, λέγει πρὸς τὸν πρωτοπαπᾶν· Ἔπαρον, δέσποτα, τὰς χεῖράς σου εἰς τὰ ἅγια. Καὶ ὁ πρωτοπαπᾶς ἄρας τὸν ἅγιον δίσκον καὶ εἰπών· Ἐπάρατε τὰς χεῖρας ὑμῶν εἰς τὰ ἅγια, // καὶ εὐλογεῖτε τὸν Κύριον, φ. 31r
τίθησιν ἐπάνω τῆς κορυφῆς τοῦ εἰπόντος τὸ Εὐαγγέλιον διακόνου, συνεφαπτομένου καὶ αὐτοῦ μετὰ πάσης προσοχῆς καὶ ἀσφαλείας.

Καὶ οὕτω γίνεται ἡ εἴσοδος· προπορευομένου τοῦ ἐπὶ τῆς εὐταξίας ἔμπροσθεν, εἶτα τοῦ κανστρισίου μετὰ τοῦ ὠμοφορίου καὶ τοῦ θυμιατοῦ, ἢ τοῦ δευτερεύοντος τῶν διακόνων, εἶτα τῶν κρατούντων τὰ ῥιπίδια διακόνων, μεθ' οὓς ὁ τὸν ἅγιον ἄρτον κρατῶν, καὶ ὄπισθεν αὐτοῦ οἱ κρατοῦντες τοὺς λοιποὺς δίσκους. Εἶτα ὁ πρωτοπαπᾶς μετὰ τοῦ ἁγίου ποτηρίου καὶ οἱ λοιποὶ ἱερεῖς κατὰ τάξιν. Ὄπισθεν δὲ πάντων οἱ κρατοῦντες ἐπὶ τῆς κεφαλῆς τὸν ἀέρα διάκονοι. Καὶ μετ' αὐτοὺς πάλιν οἱ ὑποδιάκονοι κατέχοντες καὶ τὸ χερνιβόξεστον.

Διερχόμενοι δὲ τὸν ναόν, εὔχονται ἅπαντες ὑπὲρ πάντων καὶ ἱερεῖς καὶ διάκονοι λέγοντες· Μνησθείη ὑμῶν Κύριος ὁ Θεὸς ἐν τῇ βασιλείᾳ αὐτοῦ. Ἐρχόμενοι δὲ πάντες εἰς τὸ ἅγιον βῆμα, λέγουσιν ἕκαστος πρὸς τὸν πατριάρχην· Μνησθείη Κύριος ὁ Θεὸς τῆς ἀρχιερωσύνης σου ἐν τῇ βασιλείᾳ αὐτοῦ, πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς // τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Ὅταν δὲ φ. 31v
ἔλθῃ ὁ κρατῶν διάκονος τὸν ἅγιον ἄρτον, κατερχόμενος ὁ πατριάρχης ἀφ' ἧς ἵσταται κρηπῖδος καὶ προσυπαντῶν αὐτῷ, λαμβάνει τὸν δίσκον ἀπὸ τῆς κεφαλῆς αὐτοῦ καὶ τίθησιν αὐτὸν ἐν τῇ ἁγίᾳ τραπέζῃ, συνεφαπτομένου καὶ αὐτοῦ. Ὁμοίως ποιεῖ καὶ εἰς τὰ ἐμπεπλησμένα ἅγια ποτήρια, καὶ θυμιῶντος αὐτὰ τοῦ κρατοῦντος τὸν θυμιατὸν διακόνου. Εἰς δὲ τὸν ἀέρα συνεφάπτονται πάντες· ἀρχιερεῖς, ἱερεῖς καὶ διάκονοι, λέγοντες· Ὁ εὐσχήμων Ἰωσὴφ ἀπὸ τοῦ ξύλου καθελὼν τὸ ἄχραντόν σου σῶμα, σινδόνι καθαρᾷ εἰλήσας καὶ ἀρώμασιν ἐν μνήματι καινῷ κηδεύσας ἀπέθετο. Καὶ τίθησιν ὁ πατριάρχης τὰ ποτήρια ἐξ ἑκατέρου μέρους τοῦ δίσκου, ἓν παρ' ἕν. Καὶ αἴρουσιν οἱ διάκονοι τὰ καλύμματα, καὶ οὕτω τίθεται ὁ ἀήρ. Καὶ τοῦ κανστρισίου θυμιῶντος καὶ λέγοντος ἐν τῷ θυμιᾶν· Ἀγάθυνον, Κύριε, ἐν τῇ

εὐδοκίᾳ σου τὴν Σιών... ἕως τέλους τοῦ ψαλμοῦ, πάντων προσκυνησάντων ἔμπροσθεν τῶν ἁγίων, ὑποκλίνας ὁ πατριάρχης // μικρὸν τὴν κεφαλήν, ἐφ᾽ ἑκάτερα τὰ (φ. 32r) μέρη στραφείς, λέγει· Εὐλογεῖτε, ἅγιοι. Καὶ πάντες προσκυνήσαντες αὐτὸν λέγουσι· Πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σὲ καὶ δύναμις ὑψίστου ἐπισκιάσει σοι. Καὶ εὐθὺς λέγουσι· Μνήσθητι ἡμῶν, δέσποτα ἅγιε. Καὶ ὁ πατριάρχης λέγει· Αὐτὸ τὸ Πνεῦμα τὸ ἅγιον μνησθείη ὑμῶν ἐν τῇ βασιλείᾳ αὐτοῦ. Καὶ καθήμενος ἐν τῷ σελίῳ, μικρὸν ἀναπαύεται. Τοῦ δὲ χερουβικοῦ πληρωθέντος, ὁ πατριάρχης εἰς τὰς ἁγίας θύρας ἐλθών, σφραγίζει τὸν λαὸν τρεὶς μετὰ τοῦ τρικηρίου[27].

[27] Στὸ περιθώριο· Σημείωσαι· Μετὰ τὴν συμπλήρωσιν τοῦ χερουβικοῦ δηλονότι, καὶ τὴν συνήθως παρ᾽ αὐτοῦ πρὸς τὸν λαὸν μετὰ τοῦ τρικηρίου γινομένης εὐλογίας· καὶ τοῦτο, εἴπερ ἔστι χειροτονία· εἰ γὰρ μὴ ἔστι χειροτονία, οὐδόλως κάθηται, ἀλλὰ μετὰ τὴν εἰρημένην εὐλογίαν, ὁ μὲν διάκονος ἐν τῷ ἄμβωνι ἀνελθὼν τὰς συνήθεις λέγει αἰτήσεις, ὁ δὲ πατριάρχης λέγει καθ᾽ ἑαυτὸν τὴν εὐχήν.

Ὅπως γίνεται ἡ τοῦ πρεσβυτέρου χειροτονία

Ὁ δὲ μέλλων πληρωθῆναι πρεσβύτερος, ἵσταται ἐν τῇ σωλίᾳ. Καὶ ἐξερχόμενοι δύο διάκονοι, λαμβάνουσιν αὐτὸν ἐξ ἑκατέρου μέρους καὶ φέρουσιν αὐτὸν ἄχρι τῶν ἁγίων θυρῶν. Ἐκεῖ δὲ ἀπολύουσιν αὐτὸν οἱ διάκονοι καὶ λαμβάνουσι δύο πρεσβύτεροι· ὁ πρωτοπαπᾶς καὶ ὁ δευτερεύων τῶν ἱερέων. Καὶ κυκλοῦσιν αὐτὸν τρεὶς ἐν τῇ ἁγίᾳ τραπέζῃ, ψάλλοντες καὶ τὸ τροπάριον τοῦτο· Ἅγιοι μάρτυρες...

φ. 32v // Εἶτα ἀνιστάμενος ὁ πατριάρχης, ἵσταται ἐπὶ τῆς κρηπῖδος*. Καὶ προσέρχεται ὁ χειροτονούμενος καὶ σφραγίζεται τρίτον τὴν κεφαλὴν παρ᾽ αὐτοῦ. Καὶ ἐρείσας τὸ μέτωπον τῇ ἁγίᾳ τραπέζῃ, κλίνει καὶ ἄμφω τὰ γόνατα ἐπὶ τῆς κρηπῖδος. Καὶ ἐκφωνοῦντος τοῦ μεγάλου χαρτοφύλακος· Πρόσχωμεν, ἐκφωνεῖ ὁ πατριάρχης εἰς ἐπήκοον πάντων, τάδε, ἔχων τὴν δεξιὰν χεῖρα ἐπικειμένην αὐτοῦ τῇ κεφαλῇ·

Ἡ θεία χάρις, ἡ πάντοτε τὰ ἀσθενῆ θεραπεύουσα καὶ τὰ ἐλλείποντα ἀναπληροῦσα, προχειρίζεται τόνδε, τὸν εὐλαβέστατον διάκονον εἰς πρεσβύτερον· εὐξώμεθα οὖν ὑπὲρ αὐτοῦ, ἵνα ἔλθῃ ἐπ᾽ αὐτὸν ἡ χάρις τοῦ παναγίου Πνεύματος.

Καὶ λέγουσι πάντες τό· Κύριε, ἐλέησον, τρίς. Πάλιν οὖν σφραγίσας αὐτὸν τρεὶς καὶ τὴν χεῖρα ἔχων ἐπικειμένην αὐτοῦ τῇ κεφαλῇ, τοῦ διακόνου εἰπόντος· Τοῦ Κυρίου δεηθῶμεν, ἐπεύχεται ὁ πατριάρχης·

Ὁ Θεός, ὁ ἄναρχος καὶ ἀτελεύτητος, // ὁ πάσης φ. 33r
κτίσεως πρεσβύτατος ὑπάρχων, ὁ τῇ προσηγορίᾳ πρεσβυτέρου τιμήσας τοὺς ἐν βαθμῷ τούτῳ ἀξιωθέντας ἱερουργεῖν τὸν λόγον τῆς σῆς ἀληθείας, αὐτός, Δέσποτα τῶν ἁπάντων, καὶ τοῦτον, ὃν ἐδοκίμασας προχειρισθῆναι παρ᾽ ἐμοῦ, ἐν ἀμέμπτῳ πολιτείᾳ καὶ ἀκλινεῖ τῇ πίστει εὐδόκησον ὑποδέξασθαι τὴν μεγάλην ταύτην χάριν τοῦ ἁγίου σου Πνεύματος, καὶ τέλειον ἀνάδειξον δοῦλόν σου, ἐν πᾶσιν εὐαρεστοῦντά σοι καὶ ἀξίως πολιτευόμενον τῆς δωρηθείσης αὐτῷ ὑπὸ τῆς σῆς προγνωστικῆς δυνάμεως, μεγάλης ταύτης ἱερατικῆς τιμῆς.

Ἐκφώνησις· Ὅτι σὸν τὸ κράτος καὶ σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

// Καὶ μετὰ τὴν ἐκφώνησιν, λέγει ὁ πρωτοπαπᾶς φ. 33v
λεπτῇ φωνῇ, ὅσον ἀκούειν τοὺς παρόντας πρεσβυτέρους καὶ ἀποκρίνεσθαι, τὰ διακονικὰ ταῦτα·

Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν. Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης καὶ τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν τοῦ Κυρίου δεηθῶμεν. Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, εὐσταθείας τῶν ἁγίων τοῦ Θεοῦ ἐκκλησιῶν καὶ τῆς τῶν πάντων ἑνώσεως τοῦ Κυρίου δεηθῶμεν. Ὑπὲρ τοῦ ἀρχιεπισκόπου ἡμῶν τοῦδε, ἱερωσύνης, ἀντιλήψεως, διαμονῆς, εἰρήνης, ὑγείας καὶ σωτηρίας αὐτοῦ καὶ τοῦ ἔργου τῶν χειρῶν αὐτοῦ τοῦ Κυρίου... Ὑπὲρ τοῦ δούλου τοῦ Θεοῦ τοῦδε, τοῦ νυνὶ προχειριζομένου πρεσβυτέρου καὶ τῆς σωτηρίας αὐτοῦ τοῦ Κυρίου... Ὅπως ὁ φιλάνθρωπος Θεὸς ἄσπιλον καὶ ἀμώμητον αὐτῷ τὴν ἱερωσύνην χαρίσηται, τοῦ Κυρίου δεηθῶμεν. Ὑπὲρ τῶν εὐσεβεστάτων καὶ θεοφυλάκτων βασιλέων ἡμῶν, παντὸς τοῦ παλατίου καὶ τοῦ στρα... Ὑπὲρ τῆς πόλεως ταύτης, πάσης πόλεως, χώρας καὶ τῶν πίστει οἰκούντων ἐν αὐταῖς τοῦ Κυρίου δεηθῶμεν. Ὑπὲρ τοῦ ῥυσθῆναι
ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀρ//γῆς καὶ ἀνάγκης τοῦ φ. 34r
Κυρίου δεηθῶμεν. Ἀντιλαβοῦ, σῶσον, ἐλέησον... Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶ-

σαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Τούτων δὲ ῥηθέντων, ἢ καὶ λεγομένων ἔτι, ὁ πατριάρχης ὁμοίως ἔχων ἐπικειμένην τὴν χεῖρα τῇ τοῦ χειροτονουμένου κορυφῇ, ἐπεύχεται οὕτως, εἰπόντος τοῦ διακόνου· Τοῦ Κυρίου δεηθῶμεν·

Ὁ Θεός, ὁ μέγας ἐν δυνάμει καὶ ἀνεξιχνίαστος ἐν συνέσει, ὁ θαυμαστὸς ἐν βουλαῖς ὑπὲρ τοὺς υἱοὺς τῶν ἀνθρώπων, αὐτός, Κύριε, καὶ τοῦτον, ὃν εὐδόκησας τὸν τοῦ πρεσβυτέρου ὑπεισελθεῖν βαθμόν, πλήρωσον τῆς τοῦ ἁγίου σου Πνεύματος δωρεᾶς, ἵνα γένηται ἄξιος παρεστάναι ἀμέμπτως τῷ θυσιαστηρίῳ σου, κηρύσσειν τὸ Εὐαγγέλιον τῆς σωτηρίας σου, ἱερουργεῖν τὸν λόγον
φ. 34v τῆς // ἀληθείας σου, προσφέρειν σοι δῶρα καὶ θυσίας πνευματικάς, ἀνακαινίζειν τὸν λαόν σου διὰ τῆς τοῦ λουτροῦ παλιγγενεσίας, ὅπως καὶ αὐτός, ὑπαντήσας ἐν τῇ δευτέρᾳ ἐπιδημίᾳ τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ μονογενοῦς σου Υἱοῦ, δέξηται τὸν μισθὸν τῆς ἀγαθῆς οἰκονομίας τοῦ οἰκείου τάγματος ἐν τῷ πλήθει τῆς ἀγαθότητός σου.

Ἐκφώνησις· Ὅτι εὐλόγηται καὶ δεδόξασται, τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Καὶ μετὰ τὸ Ἀμήν, ἀνίστησιν αὐτὸν καὶ φέρει τὸ ὄπισθεν τοῦ ὠραρίου αὐτοῦ ἐπὶ τοῦ ἔμπροσθεν τοῦ δεξιοῦ μέρους λέγων· Ἄξιος, ἢ περιτίθησιν αὐτῷ ἐπιτραχήλιον. Καὶ ψάλλουσι τὸ Ἄξιος πρότερον οἱ τοῦ βήματος τρίς, ἔπειτα οἱ ψάλται τρίς. Ἔπειτα, ἐνδύων αὐτὸν ὁ πατριάρχης φαινόλιον, ἐκφωνεῖ καὶ αὖθις τό·
φ. 35r Ἄξιος. Καὶ // ψάλλουσιν αὐτὸ ὁμοίως καὶ οἱ τοῦ βήματος καὶ οἱ ψάλται. Καὶ οὕτως ἀσπάζεται τὸν πατριάρχην καὶ τοὺς πρεσβυτέρους. Καὶ οὕτως ἀπερχόμενος ὁ χειροτονηθεὶς ἐπὶ τὸ δεξιὸν μέρος τῆς ἁγίας τραπέζης, ἐρείσας αὐτῇ τὸ μέτωπον, λέγει καθ' ἑαυτὸν τό· Ἐλέησόν με, ὁ Θεός... Καὶ οὕτως ὁ ἐν τῷ ἄμβωνι διάκονος, λαμβάνων καιρόν, ἄρχεται λέγων ταῦτα· Πληρώσωμεν τὴν δέησιν ἡμῶν τῷ Κυρίῳ. Ὑπὲρ τῶν προτεθέντων τιμίων δώρων τοῦ Κυρίου δεηθῶμεν. Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου καὶ τῶν μετὰ πίστεως, εὐλαβείας... Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης

θλίψεως...

Τούτων δὲ λεγομένων παρὰ τοῦ διακόνου, ὁ πατριάρχης λέγει τὴν εὐχὴν ταύτην.

Εὐχὴ προσκομιδῆς, μετὰ τὴν ἐν τῇ ἁγίᾳ τραπέζῃ τῶν δώρων ἀπόθεσιν·

Κύριε, ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ μόνος ἅγιος, ὁ δεχόμενος θυσίαν αἰνέσεως παρὰ τῶν ἐπικαλουμένων σε ἐν ὅλῃ καρδίᾳ, πρόσδεξαι καὶ ἡμῶν τῶν ἁμαρτωλῶν τὴν δέησιν, καὶ προσάγαγε τῷ ἁγίῳ // σου θυσιαστηρίῳ· φ. 35v
καὶ ἱκάνωσον ἡμᾶς προσενεγκεῖν σοι δῶρά τε καὶ θυσίας πνευματικὰς ὑπὲρ τῶν ἡμετέρων ἁμαρτημάτων καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων, καὶ καταξίωσον ἡμᾶς εὑρεῖν χάριν ἐνώπιόν σου, τοῦ γενέσθαι σοι εὐπρόσδεκτον τὴν θυσίαν ἡμῶν, καὶ ἐπισκηνῶσαι τὸ Πνεῦμα τῆς χάριτός σου τὸ ἀγαθὸν ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ προκείμενα δῶρα ταῦτα καὶ ἐπὶ πάντα τὸν λαόν σου.

Ὁ μέντοι διάκονος ἐπισυνάπτει καὶ ταῦτα ἀδιαστάτως·

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς... Τὴν ἡμέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον... Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν, φύλακα τῶν... Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν... Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν... Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν... Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν, ἀνώ... Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου δεσποίνης ἡμῶν...

// Καὶ εὐθὺς ἐκφωνεῖ ὁ πατριάρχης· Διὰ τῶν οἰ- φ. 36r
κτιρμῶν τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τούς...

Καὶ μετὰ τὸ Ἀμήν, αὖθις λέγει ὁ πατριάρχης· Εἰρήνη πᾶσιν. Καὶ ὁ διάκονος· Ἀγαπήσωμεν ἀλλήλους, ἵνα ἐν ὁμονοίᾳ ὁμολογήσωμεν.

Καὶ τοῦτο τοῦ διακόνου εἰπόντος, ἀσπάζεται ὁ πατριάρχης τὴν ἁγίαν τράπεζαν λέγων καθ' ἑαυτὸν τό· Ἀγαπήσω σε, Κύριε, ἰσχύς μου. Κύριος στερέωμά μου καὶ καταφυγή μου καὶ ῥύστης μου. Εἶτα οἱ ἀρχιερεῖς κατὰ τάξιν ἀσπάζονται τὴν ἁγίαν τράπεζαν, εἶτα τὴν δεξιὰν τοῦ πατριάρχου, κειμένην ἐν τῇ ἁγίᾳ τραπέζῃ, εἶτα τὴν παρειὰν αὐτοῦ, ἐν ᾧ καὶ λέγει ὁ μὲν πατρι-

ἀρχῆς· Ὁ Χριστὸς ἐν μέσῳ ἡμῶν. *Οἱ δὲ ἀποκρίνονται αὐτῷ·* Καὶ ἔστι καὶ ἔσται.

Πρῶτος[28] *δὲ πάντων ὁ χειροτονηθείς ἐστιν ἀρχιερεὺς ἐν πάσῃ τῇ τῆς λειτουργίας ὑπηρεσίᾳ.*

Ἀσπάζονται δὲ καὶ ἀλλήλους. Ὁμοίως καὶ οἱ πρεσβύτεροι ποιοῦσιν. Ἀσπαζόμενοι τὴν ἁγίαν τράπεζαν, τὴν χεῖρα τοῦ πατριάρχου καὶ τὴν παρειάν, τοὺς // *φ. 36v* *ἀρχιερεῖς καὶ ἀλλήλους. Καὶ οἱ διάκονοι δέ, ἐν ἑνὶ μέρει τοῦ βήματος ἀπερχόμενοι, ἀλλήλους ἀσπάζονται, πρότερον ἕκαστος αὐτῶν τὸ οἰκεῖον ἀσπαζόμενος ὠράριον καθ' ἕναν* ἀσπασμόν.*

Πληρωσάντων δὲ τῶν πρεσβυτέρων τὸν ἀσπασμόν, ὁ ἐν τῷ ἄμβωνι διάκονος ἐκφωνεῖ· Τὰς θύρας, τὰς θύρας, ἐν σοφίᾳ πρόσχωμεν.

Καὶ λέγεται τό· Πιστεύω εἰς ἕνα Θεόν..., *οὗ πληρωθέντος, ἐκφωνεῖ αὖθις ὁ διάκονος·* Στῶμεν καλῶς, στῶμεν μετὰ φόβου, πρόσχωμεν τὴν ἁγίαν ἀναφορὰν ἐν εἰρήνῃ προσφέρειν. *Καὶ τούτου δὲ λεγομένου, οἱ ἀρχιερεῖς μετὰ τοῦ πατριάρχου καὶ οἱ πρεσβύτεροι καὶ οἱ διάκονοι λαμβάνουσι τὸν ἀέρα καὶ αἴρουσιν αὐτὸν ἀπὸ τῶν ἁγίων, κατὰ μικρὸν ὑψοῦντες αὐτὸν καὶ λέγοντες τό·* Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς. *Ὁ δὲ πατριάρχης ἐκφωνεῖ οὕτως·*

Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ ἡ ἀγάπη τοῦ Θεοῦ καὶ Πατρὸς καὶ ἡ κοινωνία τοῦ ἁγίου Πνεύματος εἴη μετὰ πάντων ὑμῶν.

Καὶ ὁ μὲν λαὸς λέγει· // *φ. 37r* Καὶ μετὰ τοῦ πνεύματός σου.

Ὁ δὲ πατριάρχης αὖθις· Ἄνω σχῶμεν τὰς καρδίας.

Ὁ λαός· Ἔχομεν* πρὸς τὸν Κύριον.

Ὁ πατριάρχης· Εὐχαριστήσωμεν τῷ Κυρίῳ.

Καὶ οὕτως εἰσέρχεται καὶ ὁ ἐν τῷ ἄμβωνι διάκονος καὶ ποιεῖ ἀσπασμὸν μετὰ τῶν λοιπῶν διακόνων. Ὁ δὲ πατριάρχης κλινόμενος ἐπεύχεται·

Ἄξιον καὶ δίκαιον σὲ ὑμνεῖν, σὲ εὐλογεῖν, σὲ αἰνεῖν, σοὶ εὐχαριστεῖν, σὲ προσκυνεῖν ἐν παντὶ τόπῳ τῆς δεσποτείας σου. Σὺ γὰρ εἶ Θεὸς ἀνέκφραστος, ἀπερινόητος, ἀόρατος, ἀκατάληπτος, ἀεὶ ὤν, ὡσαύτως ὤν· σὺ καὶ ὁ μονογενής σου Υἱὸς καὶ τὸ Πνεῦμά σου τὸ ἅγιον. Σὺ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι ἡμᾶς παρήγαγες καὶ

[28] Σημείωσαι.

παραπεσόντας ἀνέστησας πάλιν καὶ οὐκ ἀπέστης πάντα ποιῶν, ἕως ἡμᾶς εἰς τὸν οὐρανὸν ἀνήγαγες καὶ τὴν βασιλείαν ἐχαρίσω τὴν μέλλουσαν. Ὑπὲρ // *φ. 37v* τούτων ἁπάντων εὐχαριστοῦμέν σοι καὶ τῷ μονογενεῖ σου Υἱῷ καὶ τῷ Πνεύματί σου τῷ ἁγίῳ, ὑπὲρ πάντων ὧν ἴσμεν καὶ ὧν οὐκ ἴσμεν, τῶν φανερῶν καὶ ἀφανῶν εὐεργεσιῶν, τῶν εἰς ἡμᾶς γεγενημένων. Εὐχαριστοῦμέν σοι καὶ ὑπὲρ τῆς λειτουργίας ταύτης, ἣν ἐκ τῶν χειρῶν ἡμῶν δέξασθαι κατηξίωσας, καίτοι σοι παρεστήκασι χιλιάδες ἀρχαγγέλων καὶ μυριάδες ἀγγέλων, τὰ χερουβὶμ καὶ τὰ σεραφίμ, ἑξαπτέρυγα, πολυόμματα, μετάρσια, πτερωτά·

Καὶ ἐκφωνεῖ ὁ πατριάρχης· Τὸν ἐπινίκιον ὕμνον ᾄδοντα, βοῶντα, κεκραγότα καὶ λέγοντα·[29]

Καὶ τοῦτο τοῦ πατριάρχου λέγοντος, αἴρει ὁ δευτερεύων τῶν διακόνων τὸν ἀστερίσκον ἀπὸ τοῦ ἁγίου δίσκου, καὶ σπογγίσας αὐτὸν ἐπὶ τοῦ εἰλητοῦ καὶ ἀσπασάμενος, τίθησιν αὐτὸν ἐπάνω τοῦ εἰλητοῦ // *φ. 38r* *εἰς μέρος. Ἄλλοι δὲ δύο τῶν διακόνων, λαβόντες δύο ῥιπίδια, ἵστανται ἐξ ἑκατέρου μέρους τῆς ἁγίας τραπέζης ἐκ πλαγίων καὶ ῥιπίζουσιν ἐπάνω τῶν ἁγίων μετὰ πάσης εὐλαβείας, ὥστε μὴ καθῆσαι μυῖαν, ἤ τι τῶν τοιούτων ζωϋφίων. Ὁ δὲ πατριάρχης κλινόμενος ἐπεύχεται·*

Μετὰ τούτων καὶ ἡμεῖς τῶν μακαρίων δυνάμεων, Δέσποτα φιλάνθρωπε, βοῶμεν καὶ λέγομεν· Ἅγιος εἶ καὶ πανάγιος, σὺ καὶ ὁ μονογενής σου Υἱὸς καὶ τὸ Πνεῦμά σου τὸ ἅγιον. Ἅγιος εἶ καὶ πανάγιος καὶ μεγαλοπρεπὴς ἡ δόξα σου, ὃς τὸν κόσμον σου οὕτως ἠγάπησας, ὥστε τὸν Υἱόν σου τὸν μονογενῆ δοῦναι, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν μὴ ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον. Ὃς ἐλθὼν καὶ πᾶσαν τὴν ὑπὲρ ἡμῶν οἰκονομίαν πληρώσας, τῇ νυκτὶ ᾗ παρεδίδοτο, μᾶλλον δὲ ἑαυτὸν // *φ. 38v* παρεδίδου ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς, λαβὼν ἄρτον ἐν ταῖς ἁγίαις αὐτοῦ καὶ ἀχράντοις καὶ ἀμωμήτοις χερσίν, εὐχαριστήσας καὶ εὐλογήσας, ἁγιάσας, κλάσας, ἔδωκε τοῖς ἁγίοις αὐτοῦ μαθηταῖς καὶ ἀποστόλοις εἰπών·

Καὶ ἐκφωνεῖ· Λάβετε, φάγετε, τοῦτό μού ἐστι* τὸ σῶμα, τὸ ὑπὲρ ὑμῶν κλώμενον εἰς ἄφεσιν ἁμαρτιῶν.

Ὁ πατριάρχης μυστικῶς· Ὁμοίως καὶ τὸ ποτήριον

[29] Στὸ περιθώριο· Ἐπεκράτησε συνήθεια λέγειν ἐνταῦθα τὸν ὑποδιάκονον τό· Ὅσοι πιστοί, τρίς. Δοκεῖ δὲ περιττόν· μετὰ γὰρ τὴν τῶν Εὐαγγελίων ἀνάγνωσιν πάντες ἐξήρχοντο οἱ κατηχούμενοι καὶ μόνοι κατελείποντο οἱ πιστοί. Διὸ καὶ εὐθὺς καὶ ὁ διάκονος βοᾷ μεγαλοφώνως· Ὅσοι κατηχούμενοι, προέλθετε. Καὶ τοῦτο τρὶς καὶ τετράκις. Οἱ δὲ ὑποδιάκονοι καὶ ὤθουν αὐτοὺς ταῖς χερσί, φανεροὺς ὄντας, καὶ τοῦ ναοῦ ἐξέβαλον. Καὶ οὐδεὶς κατελείπετο κατηχούμενος ἐν τῇ μεγάλῃ εἰσόδῳ, τῶν ἁγίων δώρων προερχομένων, ὡς ἀνάξιος τῆς τοιαύτης θέας. Μετὰ οὖν τὴν εἴσοδον // καὶ τὴν ὁμολογίαν τῆς πίστεως, περιττὸν δοκεῖ κηρύττειν τοὺς ὑποδιακόνους τό· Ὅσοι πιστοί, ὃ προεκηρύχθη παρὰ τῶν διακόνων καὶ γέγονεν· εἰ μήτις εἴποι, ὅτι καλοῦσιν οἱ ὑποδιάκονοι καὶ ὡσανεὶ διϋπνίζουσι τοὺς πιστούς, λέγειν καὶ αὐτοὺς τὸν ἀγγελικὸν ὕμνον τό· Ἅγιος, ἅγιος, ἅγιος... καὶ τὰ ἑξῆς. Ὁπωσδήποτε δὲ ἀσφαλέστερόν ἐστι λέγεσθαι καὶ τηρεῖσθαι τὴν ἐπικρατήσασαν συνήθειαν.

μετὰ τὸ δειπνῆσαι, λέγων·

Καὶ ἐκφωνεῖ· Πίετε ἐξ *αὐτοῦ πάντες, τοῦτό ἐστι* τὸ αἷμά μου, τὸ τῆς καινῆς διαθήκης, τὸ ὑπὲρ ὑμῶν καὶ πολλῶν ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρτιῶν*[30].

Ὁ πατριάρχης κλινόμενος ἐπεύχεται·

Μ*εμνημένοι τοίνυν τῆς σωτηρίου ταύτης ἐντολῆς καὶ πάντων τῶν ὑπὲρ ἡμῶν γεγενημένων· τοῦ σταυροῦ, τοῦ*
φ. 39r *τάφου, τῆς τριημέρου ἀναστάσεως, τῆς // εἰς οὐρανοὺς ἀναβάσεως, τῆς ἐκ δεξιῶν καθέδρας, τῆς δευτέρας καὶ ἐνδόξου πάλιν παρουσίας·*

Καὶ ἐκφωνεῖ· Τ*ὰ σὰ ἐκ τῶν σῶν σοὶ προσφέροντες κατὰ πάντα καὶ διὰ πάντα*[31],

Καὶ πάλιν κλινόμενος ἐπεύχεται·

Ἔτι προσφέρομέν σοι τὴν λογικὴν ταύτην καὶ ἀναίμακτον λατρείαν καὶ παρακαλοῦμεν καὶ δεόμεθα καὶ ἱκετεύομεν· κατάπεμψον τὸ Π*νεῦμά σου τὸ ἅγιον ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ προκείμενα δῶρα ταῦτα·*

Καὶ οὕτως ἀνιστάμενος προσκυνεῖ, αὐτός τε ὁ πατριάρχης καὶ οἱ λοιποὶ πάντες, λέγων καὶ τὸ τροπάριον τοῦτο τρίς· Κ*ύριε, ὁ τὸ πανάγιόν σου* Π*νεῦμα ἐν τῇ τρίτῃ ὥρᾳ τοῖς ἁγίοις σου μαθηταῖς καὶ ἀποστόλοις σου καταπέμψας... ἕως τέλους καὶ προσκυνεῖ τρίς.*

Εἶτα ὁ δευτερεύων τῶν διακόνων, μικρὸν ὑποκλίνας τὴν κεφαλὴν καὶ δεικνύων σὺν τῷ ὠραρίῳ τὸν ἅγιον
φ. 39v *δίσκον, λέγει·* Ε*ὐλόγησον, δέσποτα, // τὸν ἅγιον ἄρτον. Καὶ ὁ πατριάρχης εὐλογεῖ ἐπάνω τοῦ ἁγίου ἄρτου, λέγων ἠρέμα·* Κ*αὶ ποίησον τὸν μὲν ἄρτον τοῦτον τίμιον σῶμα τοῦ* Χ*ριστοῦ σου. Ὁ διάκονος·* Ἀ*μήν. Καὶ πάλιν ὁ διάκονος·* Ε*ὐλόγησον, δέσποτα, τὸ*[τὰ] *ἅγ...*[32] *ποτήριον*[α]. *Ὁ δὲ πατριάρχης εὐλογῶν αὐτὸ λέγει·* Τ*ὸ δὲ ἐν τῷ*[τοῖς] *ποτηρίῳ*[οις] *τούτῳ*[τοις], *τίμιον αἷμα τοῦ* Χ*ριστοῦ σου. Εἰ δέ εἰσι* πολλά, λέγει τοῦτο πληθυντικῶς. Εἶτα πάλιν ὁ διάκονος·* Ε*ὐλόγησον καὶ ἀμφότερα, δέσποτα. Καὶ ὁ πατριάρχης εὐλογῶν ἐπάνω τῶν ἁγίων λέγει·* Μ*εταβαλὼν τῷ* Π*νεύματί σου τῷ ἁγίῳ. Καὶ ὁ διάκονος εἰπὼν τό·* Ἀ*μήν, ἀμήν, καὶ περισσότερον ἔτι τὴν κεφαλὴν ὑποκλίνας, λέγει·* Μ*νήσθητί μου, δέσποτα, τοῦ ἁμαρτωλοῦ. Καὶ ὁ πατριάρχης λέγει πρὸς αὐτὸν καὶ τοὺς λοιποὺς διακόνους·* Μ*νησθείη ὑμῶν* Κ*ύριος ὁ* Θ*εὸς ἐν τῇ βασιλείᾳ αὐτοῦ.*

[30] Στὸ περιθώριο· Καὶ εἰ ἔστιν ὑποδιάκονος, λέγει τό· Ὅσοι πιστοί, τρίς.

[31] Στὸ περιθώριο· Ὁμοίως κἀνταῦθα ὁ ὑποδιάκονος τό· Ὅσοι πιστοί, τρίς.

[32] Διὸ καὶ ἄνευ καταλήξεως τοῦ πληθυντικοῦ.

Καὶ[33] *εὐθὺς προσέρχεται ὁ χειροτονηθεὶς πρεσβύτερος καὶ ἐπιδίδωσιν αὐτῷ ὁ πατριάρχης τὴν παρακαταθήκην, λέγων πρὸς αὐτὸν οὕτως·* Λ*άβε ταύτην τὴν παρακαταθήκην καὶ φύλαξον αὐτὴν ἕως τῆς παρουσίας τοῦ* Κ*υρίου, ὅτε μέλλεις παρ' αὐτοῦ ἀπαι//τεῖσθαι* φ. 40r
αὐτήν. Ὁ δὲ λαβὼν καὶ ἀσπασάμενος τὴν χεῖρα τοῦ πατριάρχου, μεθίσταται ἐν ᾧ πρότερον ἵστατο τόπῳ τὰς μὲν χεῖρας θεὶς ἐπάνω τῆς ἁγίας τραπέζης, τὴν δὲ κεφαλὴν ἔχων ἐπικειμένην ταῖς χερσίν, εὐχόμενος καθ' ἑαυτὸν αὖθις καὶ λέγων τό· Ἐ*λέησόν με, ὁ* Θ*εός...*

Ὁ δὲ πατριάρχης αὖθις κλινόμενος ἐπεύχεται·

Ὥ*στε γενέσθαι τοῖς μεταλαμβάνουσιν εἰς νῆψιν ψυχῆς, εἰς ἄφεσιν ἁμαρτιῶν, εἰς κοινωνίαν τοῦ ἁγίου σου* Π*νεύματος, εἰς βασιλείας οὐρανῶν πλήρωμα, εἰς παρρησίαν τὴν πρὸς σέ, μὴ εἰς κρῖμα ἢ εἰς κατάκριμα.* Ἔ*τι προσφέρομέν σοι τὴν λογικὴν ταύτην λατρείαν ὑπὲρ τῶν ἐν πίστει ἀναπαυσαμένων προπατόρων, πατέρων, πατριαρχῶν, προφητῶν, ἀποστόλων, κηρύκων, εὐαγγελιστῶν, μαρτύρων, ὁμολογητῶν, ἐγκρατευτῶν καὶ παντὸς πνεύματος δικαίου // ἐν πίστει* φ. 40v
τετελειωμένου.

Ἐκφώνησις· Ἐ*ξαιρέτως τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης δεσποίνης ἡμῶν* Θ*εοτόκου καὶ ἀειπαρθένου* Μ*αρίας.*

Καὶ τοῦτο εἰπὼν ὁ πατριάρχης λέγει καὶ αὐτὸς καθ' ἑαυτὸν τό· Ἄ*ξιόν ἐστιν* ὡς ἀληθῶς... ψαλλόντων τοῦτο καὶ τῶν ψαλτῶν. Ὁ δὲ κανστρίσιος, λαβὼν τὸν θυμιατὸν καὶ θυμίαμα βαλὼν καὶ λαβὼν παρὰ τοῦ πατριάρχου συνήθως εὐλογίαν ἐπὶ τῷ θυμιάματι, θυμιᾷ σταυροειδῶς κύκλῳ τὴν ἁγίαν τράπεζαν, λέγων καθ' ἑαυτὸν καὶ τό·* Ἄ*ξιόν ἐστιν*... Εἶτα θυμιᾷ τὸν πατριάρχην, τοὺς ἀρχιερεῖς, τοὺς ἱερεῖς καὶ τοὺς διακόνους, καὶ αὖθις τὸν πατριάρχην καὶ τὴν ἁγίαν τράπεζαν, καὶ ἀποτίθησι τὸν θυμιατόν. Ὁ δὲ πατριάρχης κλινόμενος ἐπεύχεται·*

Τ*οῦ ἁγίου* Ἰ*ωάννου τοῦ προφήτου, προδρόμου καὶ βαπτιστοῦ, τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων ἀποστόλων, τοῦ ἁγίου τοῦδε, οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν καὶ πάν//των τῶν ἁγίων σου, ὧν ταῖς ἱκεσίαις* φ. 41r

[33] Σημείωσαι.

ἐπίσκεψαι ἡμᾶς, ὁ Θεός. Καὶ μνήσθητι πάντων τῶν κεκοιμημένων ἐπ' ἐλπίδι ἀναστάσεως ζωῆς αἰωνίου καὶ ἀνάπαυσον αὐτούς, ὅπου ἐπισκοπεῖ τὸ φῶς τοῦ προσώπου σου.

Καὶ μνημονεύει ἐνταῦθα ὧν βούλεται κεκοιμημένων κατ' ὄνομα μυστικῶς, καὶ οὕτως ἐπισυνάπτει·

Ἔτι παρακαλοῦμέν σε· μνήσθητι, Κύριε, πάσης ἐπισκοπῆς ὀρθοδόξων, τῶν ὀρθοτομούντων τὸν λόγον τῆς σῆς ἀληθείας, παντὸς τοῦ πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας καὶ παντὸς ἱερατικοῦ τάγματος. Ἔτι προσφέρομέν σοι τὴν λογικὴν ταύτην λατρείαν ὑπὲρ τῆς οἰκουμένης, ὑπὲρ τῆς ἁγίας, καθολικῆς καὶ ἀποστολικῆς Ἐκκλησίας, ὑπὲρ τῶν ἐν ἁγνείᾳ καὶ σεμνῇ
φ. 41v πολιτείᾳ // διαγόντων, ὑπὲρ τῶν πιστοτάτων καὶ φιλοχρίστων ἡμῶν βασιλέων, παντὸς τοῦ παλατίου καὶ τοῦ στρατοπέδου αὐτῶν. Δὸς αὐτοῖς, Κύριε, εἰρηνικὸν τὸ βασίλειον, ἵνα καὶ ἡμεῖς ἐν τῇ γαλήνῃ αὐτῶν ἤρεμον καὶ ἡσύχιον βίον διάγωμεν ἐν πάσῃ εὐσεβείᾳ καὶ σεμνότητι.

Ταύτης οὖν τελεσθείσης, πρὸ τοῦ ἐκφωνῆσαι τὸν πατριάρχην, λέγει εἷς τῶν διακόνων ἔνδοθεν τοῦ βήματος μεγαλοφώνως· Καὶ ὧν ἕκαστος κατὰ διάνοιαν ἔχει, καὶ πάντων καὶ πασῶν.

Καὶ οὕτως ἐκφωνεῖ ὁ πατριάρχης· Μνήσθητι, Κύριε, πάσης ἐπισκοπῆς ὀρθοδόξων, τῶν ὀρθοτομούντων τὸν λόγον τῆς σῆς ἀληθείας.

Ἰστέον δὲ ὡς εἰ μὲν πατριάρχης ἐστὶν ὁ τὴν λειτουργίαν ἐπιτελῶν, λέγει τὴν ἐκφώνησιν ταύτην, εἰ δὲ ἀρχιερεύς, οὐ λέγει ταύτην, ἀλλὰ τήνδε·

Ἐν πρώτοις μνήσθητι, Κύριε, τοῦ ἀρχιεπισκόπου
φ. 42r ἡμῶν τοῦδε, ὃν χάρισαι ταῖς // ἁγίαις σου ἐκκλησίαις ἐν εἰρήνῃ, σῶον, ἔντιμον, ὑγιᾶ, μακροημερεύοντα, ὀρθοτομοῦντα τὸν λόγον τῆς σῆς ἀληθείας.

Καὶ μετὰ τὴν ἐκφώνησιν, λέγει ὁ ἀρχιδιάκονος εἰς ἐπήκοον πάντων ἔνδοθεν τοῦ βήματος τὰ δίπτυχα. Καὶ πληρώσας αὐτά, ἔρχεται καὶ προσκυνεῖ τὸν πατριάρχην καὶ λαμβάνει παρ' αὐτοῦ εὐλογίαν. Ὁ δὲ πατριάρχης αὖθις ἐπεύχεται·

Μνήσθητι, Κύριε, τῆς πόλεως ἐν ᾗ παροικοῦμεν καὶ πάσης πόλεως καὶ χώρας καὶ τῶν πίστει οἰκούντων ἐν αὐταῖς. Μνήσθητι, Κύριε, πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων καὶ τῆς σωτηρίας αὐτῶν. Μνήσθητι, Κύριε, τῶν καρποφορούντων καὶ καλλιεργούντων ἐν ταῖς ἁγίαις σου ἐκκλησίαις καὶ μεμνημένων τῶν πενήτων καὶ ἐπὶ πάντας ἡμᾶς τὰ ἐλέη σου ἐξαπόστειλον.

Καὶ μνημονεύει // ὧν βούλεται ζώντων μυστικῶς, καὶ οὕτως ἐκφωνεῖ· Καὶ δὸς ἡμῖν ἐν ἑνὶ στόματι καὶ μιᾷ φ. 42v
καρδίᾳ δοξάζειν καὶ ἀνυμνεῖν τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ λαός· Ἀμήν. Καὶ ὁ πατριάρχης αὖθις ἐκφωνεῖ· Καὶ ἔσται τὰ ἐλέη τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ πάντων ὑμῶν. Καὶ οὕτω καθήμενος ἐν τῷ σελίῳ, μικρὸν ἀναπαύεται.

Ὅπως γίνεται ἡ τοῦ διακόνου χειροτονία

Καὶ ἐξελθόντες δύο διάκονοι, λαμβάνουσι τὸν μέλλοντα χειροτονεῖσθαι διάκονον, ἑστῶτα ἐν τῇ σωλίᾳ. Καὶ εἰσάγουσιν εἰς τὸ ἅγιον βῆμα καὶ κυκλοῦσι τὴν ἁγίαν τράπεζαν τρίς, ψάλλοντες καὶ τό· Ἅγιοι μάρτυρες, οἱ καλῶς ἀθλήσαντες... Εἶτα προσερχόμενος τῷ πατριάρχῃ, σφραγίζεται τρὶς τὴν κεφαλήν. Καὶ κελεύει ὁ πατριάρχης ἀποζώσασθαι τοῦτον καὶ ἀρθῆναι καὶ τὸ μανδύλιον // ἀπὸ τοῦ ὤμου αὐτοῦ. Εἶτα ἐρείδει ὁ φ. 43r
χειροτονούμενος τὸ μέτωπον αὐτοῦ τῇ ἁγίᾳ τραπέζῃ καὶ κλίνει τὸ γόνυ τὸ δεξιόν. Καὶ τοῦ μεγάλου χαρτοφύλακος ἐκφωνήσαντος τό· Πρόσχωμεν, ὁ πατριάρχης, ἔχων τὴν δεξιὰν ἐπικειμένην τῇ τοῦ χειροτονουμένου κεφαλῇ, ἐκφωνεῖ εἰς ἐπήκοον πάντων ταῦτα·

Ἡ θεία χάρις, ἡ πάντοτε τὰ ἀσθενῆ θεραπεύουσα καὶ τὰ ἐλλείποντα ἀναπληροῦσα, προχειρίζεται τὸν δεῖνα, τὸν εὐλαβέστατον ὑποδιάκονον εἰς διάκονον· εὐξώμεθα οὖν ὑπὲρ αὐτοῦ, ἵνα ἔλθῃ ἐπ' αὐτὸν ἡ χάρις τοῦ παναγίου Πνεύματος.

Καὶ πάντων λεγόντων ἐκ τρίτου τό· Κύριε ἐλέησον, ὁ πατριάρχης σφραγίζει καὶ αὖθις τρίτον τὴν αὐτοῦ κεφαλήν, καὶ τοῦ διακόνου εἰπόντος· Τοῦ Κυρίου δεη-

θῶμεν, *ὁ πατριάρχης, ἔχων ὁμοίως τὴν δεξιὰν χεῖρα
ἐπικειμένην αὐτοῦ τῇ κεφαλῇ, εὔχεται οὕτως·*

φ. 43v Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ τῇ προγνώσει // τῇ σῇ τὴν
τοῦ ἁγίου σου Πνεύματος χορηγίαν καταπέμπων ἐπὶ
τοὺς ὡρισμένους ὑπὸ τῆς σῆς ἀνεξιχνιάστου δυνάμεως,
λειτουργοὺς γενέσθαι καὶ ἐξυπηρετεῖσθαι τοῖς ἀχρά-
ντοις σου μυστηρίοις, αὐτός, Δέσποτα, καὶ τοῦτον, ὃν
εὐδόκησας προχειρισθῆναι παρ᾽ ἐμοῦ εἰς τὴν τῆς δια-
κονίας λειτουργίαν, ἐν πάσῃ σεμνότητι διατήρησον, ἔχο-
ντα τὸ μυστήριον τῆς πίστεως ἐν καθαρᾷ συνειδήσει.
Δώρησαι δὲ αὐτῷ τὴν χάριν, ἣν ἐδωρήσω Στεφάνῳ τῷ
πρωτομάρτυρί σου, ὃν καὶ ἐκάλεσας πρῶτον εἰς τὸ
ἔργον τῆς διακονίας σου, καὶ καταξίωσον αὐτὸν κατὰ
τὸ σοὶ εὐάρεστον, οἰκονομῆσαι τὸν παρὰ τῆς σῆς ἀγα-
θότητος δεδωρημένον* αὐτῷ βαθμόν· οἱ γὰρ καλῶς
φ. 44r // διακονήσαντες, βαθμὸν ἑαυτοῖς καλὸν περιποιοῦνται·
καὶ τέλειον ἀνάδειξον δοῦλόν σου.

Ἐκφώνησις· Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις
καὶ ἡ δόξα, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου
Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Καὶ μετὰ τὸ Ἀμήν, *λέγει ὁ ἀρχιδιάκονος λεπτῇ
φωνῇ, ὅσον ἀκούειν τοὺς συμπαρόντας διακόνους καὶ
ἀποκρίνεσθαι, τὰ διακονικὰ ταῦτα·*

Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν. Ὑπὲρ τῆς ἄνωθεν
εἰρήνης, καὶ τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν τοῦ... Ὑπὲρ
τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, εὐσταθείας τῶν
ἁγίων τοῦ Θεοῦ ἐκκλησιῶν καὶ τῆς τῶν πάντων... Ὑπὲρ
τοῦ ἀρχιεπισκόπου ἡμῶν *τοῦδε,* ἱερωσύνης, ἀντιλήψεως,
διαμονῆς, εἰρήνης, ὑγείας καὶ σωτηρίας αὐτοῦ καὶ τοῦ
ἔργου τῶν χειρῶν αὐτοῦ τοῦ Κυρίου δεηθῶμεν. Ὑπὲρ
τοῦ δούλου τοῦ Θεοῦ *τοῦδε,* τοῦ νυνὶ προχειριζομένου
διακόνου καὶ τῆς σωτηρίας αὐτοῦ τοῦ Κυρίου... Ὅπως
φ. 44v ὁ φιλάνθρωπος Θεὸς ἡμῶν ἄσπιλον καὶ ἀμώ//μητον
αὐτῷ τὴν διακονίαν χαρίσηται, τοῦ Κυρίου δεηθῶμεν.
Ὑπὲρ τῶν εὐσεβεστάτων καὶ θεοφυλάκτων βασιλέων
ἡμῶν, παντὸς τοῦ παλατίου καὶ τοῦ στρα... Ὑπὲρ τῆς
πόλεως ταύτης, πάσης πόλεως, χώρας καὶ τῶν πίστει
οἰκούντων ἐν αὐταῖς τοῦ Κυρίου δεηθῶμεν. Ὑπὲρ τοῦ
ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς καὶ ἀνά-
γκης τοῦ Κυρίου... Ἀντιλαβοῦ, σῶσον, ἐλέησον... Τῆς

Παναγίας, ἀχράντου, ὑπερευλογημένης δεσποίνης ἡμῶν
Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν
ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶ-
σαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

*Καὶ τούτων ῥηθέντων, ὁ ἀρχιερεύς, ἔχων ὡσαύτως
τῇ τοῦ χειροτονουμένου κορυφῇ τὴν χεῖρα ἐπικειμένην,
εὔχεται οὕτως·*

Ὁ Θεός, ὁ σωτὴρ ἡμῶν, ὁ τῇ ἀφθάρτῳ σου φωνῇ
τοῖς ἀποστόλοις σου φωνήσας[34] καὶ πρῶτον αὐτῶν κη-
ρύξας τὸν τοῦ διακόνου ἀποπληροῦντα ἔργον, καθὼς
γέγραπται ἐν τῷ // ἁγίῳ Εὐαγγελίῳ σου· Ὅστις θέλει φ. 45r
ἐν ὑμῖν εἶναι πρῶτος, ἔστω ὑμῶν διάκονος· σύ, Δέσποτα
τῶν ἁπάντων, τὸν δοῦλόν σου τοῦτον, ὃν κατηξίωσας
τὴν τοῦ διακόνου ὑπεισελθεῖν λειτουργίαν, πλήρωσον
πάσης πίστεως καὶ ἀγάπης καὶ δυνάμεως καὶ ἁγιασμοῦ,
τῇ ἐπιφοιτήσει τοῦ ζωοποιοῦ σου Πνεύματος· οὐ γὰρ
ἐν τῇ ἐπιθέσει τῶν ἐμῶν χειρῶν, ἀλλ᾽ ἐν τῇ ἐπισκοπῇ
τῶν πλουσίων σου οἰκτιρμῶν δίδοται χάρις τοῖς ἀξίοις
σου· ἵνα καὶ οὗτος, πάσης ἁμαρτίας ἐκτὸς γενόμενος,
ἐν τῇ φοβερᾷ ἡμέρᾳ τῆς κρίσεώς σου, ἀμέμπτως σοι
παραστῇ καὶ τὸν μισθὸν τὸν ἀδιάψευστον τῆς σῆς
ἐπαγγελίας κομίσηται.

Ἐκφώνησις· Σὺ γὰρ εἶ ὁ Θεὸς ἡμῶν καὶ σοὶ τὴν
δόξαν ἀναπέμπομεν σὺν τῷ ἀνάρχῳ σου Πατρὶ καὶ τῷ
ἁγίῳ // Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν φ. 45v
αἰώνων.

Καὶ μετὰ τὸ Ἀμήν, *περιτίθησι τῷ χειροτονηθέντι
τὸ ὠράριον κατὰ τὸν ἀριστερὸν ὦμον λέγων·* Ἄξιος.
*Καὶ ψάλλεται συνήθως τοῦτο τρίτον παρὰ τῶν τοῦ
βήματος καὶ τρίτον παρὰ τῶν ψαλτῶν. Εἶτα ἐπιδίδωσιν
αὐτῷ ὁ πατριάρχης ἅγιον ῥιπίδιον λέγων ὁμοίως·* Ἄξι-
ος, *καὶ ἀσπάζεται αὐτόν. Ὁμοίως καὶ οἱ διάκονοι πά-
ντες ἀσπάζονται αὐτόν. Ὁ δέ, τὸ ῥιπίδιον λαβών,
ἵσταται ἐκ πλαγίου τῆς ἁγίας τραπέζης ἀπὸ τοῦ δεξιοῦ
μέρους καὶ ῥιπίζει ἐπάνω τῶν ἁγίων, ἐκβληθέντος τοῦ
ἱσταμένου πρότερον αὐτόθι διακόνου*[35].

*Καὶ οὕτως δίδοται καιρὸς τῷ ἐν ἄμβωνι διακόνῳ
καὶ λέγει·*

Πάντων τῶν ἁγίων μνημονεύσαντες, ἔτι καὶ ἔτι ἐν
εἰρήνῃ τοῦ... Ὑπὲρ τῶν προσκομισθέντων καὶ ἁγιασθέ-

[34] Στὸ περιθώριο· θεσπίσας.

[35] Στὸ περιθώριο· Σημείωσαι· Ἰστέον, ὅτι ἔξεστι καὶ διακόνου μόνον χειροτονίαν ἐν τοῖς προηγιασμένοις ποιεῖν. Γίνεται δὲ μετὰ τὸ ἀποτεθῆναι τὰ προηγιασμένα ἐν τῇ ἁγίᾳ τραπέζῃ, πρὶν εἰπεῖν τὸν διάκονον τό· Πληρώσωμεν τὴν ἑσπερινὴν δέησιν... Τότε γὰρ προσάγεται ὁ μέλλων χειροτονεῖσθαι καὶ γίνεται ἀπαραλλάκτως ὡς ἡ παροῦσα διαγορεύει τάξις.

ντων... Ὅπως ὁ φιλάνθρωπος Θεὸς ἡμῶν, ὁ προσδεξάμενος αὐτὰ εἰς τὸ ἅγιον καὶ ὑπερουράνιον καὶ νοερὸν αὐτοῦ θυσιαστήριον εἰς ὀσμὴν εὐωδίας πνευματικῆς,
φ. 46r ἀντικαταπέμψοι // ἡμῖν τὴν χάριν καὶ τὴν δωρεὰν τοῦ ἁγίου Πνεύματος, δεηθῶμεν. Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως...

Ταῦτα δὲ τοῦ διακόνου λέγοντος, ὁ πατριάρχης κλινόμενος ἐπεύχεται·

Σοὶ παρακατατιθέμεθα τὴν ζωὴν ἡμῶν ἅπασαν καὶ τὴν ἐλπίδα, Δέσποτα φιλάνθρωπε, καὶ παρακαλοῦμεν καὶ δεόμεθα καὶ ἱκετεύομεν· καταξίωσον ἡμᾶς μεταλαβεῖν τῶν ἐπουρανίων σου καὶ φρικτῶν μυστηρίων ταύτης τῆς ἱερᾶς καὶ πνευματικῆς τραπέζης μετὰ καθαροῦ συνειδότος, εἰς ἄφεσιν ἁμαρτιῶν, εἰς συγχώρησιν πλημμελημάτων, εἰς Πνεύματος ἁγίου κοινωνίαν, εἰς βασιλείας οὐρανῶν κληρονομίαν, μὴ εἰς κρῖμα* ἢ εἰς κατάκριμα.

Ταύτην δὲ τὴν εὐχὴν τοῦ πατριάρχου λέγοντος, ὁ
φ. 46v διάκονος ἀδιαστάτως ἐπισυνάπτει καὶ ταῦτα· // Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς... Τὴν ἡμέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀνα... Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν, φύλακα τῶν... Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν... Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς... Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν... Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν, ἀνώ... Τὴν ἑνότητα τῆς πίστεως καὶ τὴν κοινωνίαν τοῦ ἁγίου Πνεύματος αἰτησάμενοι, ἑαυτοὺς καὶ ἀλλή...

Καὶ ταῦτα τοῦ διακόνου τελέσαντος, ἐκφωνεῖ ὁ πατριάρχης· Καὶ καταξίωσον ἡμᾶς, Δέσποτα, μετὰ παρρησίας, ἀκατακρίτως τολμᾶν ἐπικαλεῖσθαί σε τὸν ἐπουράνιον Θεόν, πατέρα, καὶ λέγειν·

Ὁ λαός· Πάτερ ἡμῶν...

Καὶ πάλιν ὁ πατριάρχης ἐκφωνεῖ· Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος... Καὶ μετὰ τὸ Ἀμήν, λέγει πάλιν ὁ πατριάρχης· Εἰρήνη πᾶσιν. Ὁ διάκονος· Τὰς κεφαλὰς ὑμῶν τῷ Κυρίῳ κλίνατε.

φ. 47r Καὶ τοῦτο εἰπών, κλίνει καὶ // αὐτὸς σὺν τοῖς ἄλλοις τὴν κεφαλὴν μικρὸν ἄχρι τῆς ἐκφωνήσεως. Ὁ δὲ πατριάρχης κλινόμενος ἐπεύχεται·

Εὐχαριστοῦμέν σοι, Βασιλεῦ ἀόρατε, ὁ τῇ ἀμετρήτῳ σου δυνάμει τὰ πάντα δημιουργήσας καὶ τῷ πλήθει τοῦ ἐλέους σου ἐξ οὐκ ὄντων εἰς τὸ εἶναι πάντα παραγαγών. Αὐτός, Δέσποτα, οὐρανόθεν ἔπιδε ἐπὶ τοὺς ὑποκεκλικότας σοι τὰς ἑαυτῶν κεφαλάς, οὐ γὰρ ἔκλιναν σαρκὶ καὶ αἵματι, ἀλλὰ σοὶ τῷ φοβερῷ Θεῷ. Σὺ οὖν, Δέσποτα, τὰ προκείμενα πᾶσιν ἡμῖν εἰς ἀγαθὸν ἐξομάλισον κατὰ τὴν ἑκάστου ἰδίαν χρείαν· τοῖς πλέουσι σύμπλευσον, τοῖς ὁδοιποροῦσι συνόδευσον, τοὺς νοσοῦντας ἴασαι, ὁ ἰατρὸς τῶν ψυχῶν καὶ τῶν σωμάτων.

// Καὶ εὐθέως ἐκφωνεῖ οὕτως· Χάριτι καὶ οἰκτιρμοῖς φ. 47v
καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ᾽ οὗ εὐλογητὸς εἶ σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου...

Πάλιν οὖν κλινόμενος ἐπεύχεται·

Πρόσχες, Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν, ἐξ ἁγίου κατοικητηρίου σου καὶ ἀπὸ θρόνου δόξης τῆς βασιλείας σου καὶ ἐλθὲ εἰς τὸ ἁγιάσαι ἡμᾶς, ὁ ἄνω τῷ Πατρὶ συγκαθήμενος καὶ ὧδε ἡμῖν ἀοράτως συνών· καὶ καταξίωσον τῇ κραταιᾷ σου χειρὶ μεταδοῦναι ἡμῖν τοῦ ἀχράντου σώματός σου καὶ τοῦ τιμίου σου αἵματος καὶ δι᾽ ἡμῶν παντὶ τῷ λαῷ.

Ταύτην δὲ τελέσας, εὐθὺς φορένει τὸ ὠμόφορον ὁ πατριάρχης. Τοῦτο ποιοῦσι καὶ οἱ ἀρχιερεῖς. Ὁ μέντοι διάκονος ἵσταται καθ᾽ ἑαυτὸν εὐχόμενος καὶ προσέχων τῷ πατριάρχῃ τὸν ὀφθαλμόν· καὶ ὅταν ἴδῃ ἐκεῖνον τὴν
εὐχὴν συντελέσαντα // καὶ ἀρξάμενον προσκυνεῖν, συ- φ. 48r
μπροσκυνεῖ καὶ αὐτὸς ἐν ᾧ ἵσταται τόπῳ. Τοῦτο δὲ ποιοῦσι καὶ πάντες οἱ λειτουργοῦντες. Καὶ ὅταν ἴδῃ πάλιν ἐκεῖνον ἐκτείναντα τὰς χεῖρας καὶ ἁψάμενον τοῦ ἁγίου ἄρτου, ἐκφωνεῖ· Πρόσχωμεν.

Καὶ ὁ πατριάρχης ὑψῶν τὸν ἅγιον ἄρτον ἐκφωνεῖ· Τὰ ἅγια τοῖς ἁγίοις. Καὶ εἰσέρχεται ὁ διάκονος εἰς τὸ βῆμα.

Ὁ δὲ πατριάρχης, εἰπόντος τοῦ διακόνου· Μέλισον, δέσποτα, τὸν ἅγιον ἄρτον, μελίζει τὸν ἅγιον ἄρτον εἰς μερίδας τέσσαρας, λέγων ἐν τῷ μελίζειν ἠρέμα· Μελίζεται καὶ διαμερίζεται ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ μελιζόμενος καὶ μὴ διαιρούμενος, ὁ πάντοτε ἐσθιόμενος καὶ μηδέποτε δαπανώμενος.

Καὶ τίθησιν αὐτὰς ἐν τῷ ἁγίῳ δίσκῳ σταυροειδῶς.
Καὶ ὁ διάκονος, δεικνύων σὺν τῷ ὠραρίῳ τὰ ἅγια πο-
τήρια, λέγει· Πλήρωσον, δέσποτα. Καὶ ὁ πατριάρχης,
τὴν ἄνω μερίδα λαβὼν καὶ μερίσας αὐτὴν ἀναλόγως
πρὸς τὰ ποτήρια, ἕκαστον τῶν τμημάτων ἐμβάλλει
τῶν ποτηρίων ἑκάστῳ, ποιῶν σταυρὸν σὺν αὐτῇ ἐπάνω
φ. 48v τοῦ ἁγίου ποτηρίου // λέγων· Πλήρωμα Πνεύματος
ἁγίου. Ὁ δὲ διάκονος εἰπὼν τὸ Ἀμήν, δέχεται τὸ εἰ-
σκομισθὲν ζέον, καὶ προσενεγκὼν αὐτό, λέγει πρὸς τὸν
πατριάρχην· Εὐλόγησον, δέσποτα, τὸ ζέον. Καὶ ὁ μὲν
πατριάρχης εὐλογῶν αὐτὸ λέγει· Ζέσις Πνεύματος
ἁγίου, ὁ δὲ διάκονος κρατῶν τῇ μὲν ἀριστερᾷ χειρὶ
ἕκαστον τῶν ποτηρίων, τῇ δὲ δεξιᾷ τὸ ζέον, ἐγχέει τοῦ
ζέοντος τὸ ἀρκοῦν ἑκάστῳ. Ὁ μέντοι πατριάρχης, ἢ ὁ
πρωτοπαπᾶς προτροπῇ αὐτοῦ, λαβὼν τὸν ἅγιον δίσκον
διαιρεῖ τὰς λοιπὰς μερίδας τοῦ ἁγίου ἄρτου εἰς λεπτὰ
πρὸς τὸ ἀρκέσαι πᾶσιν.

Εἶτα ὁ χειροτονηθεὶς ἀρχιερεὺς προσελθών, ἢ ὁ
εὑρισκόμενος πρῶτος τῶν ἄλλων, εἰ μή ἐστι* χειροτο-
νία, λαμβάνει μερίδα τοῦ ἁγίου ἄρτου καὶ δίδωσι τῷ
πατριάρχῃ. Ὁ δὲ λαβὼν αὐτὴν τῇ δεξιᾷ χειρὶ καὶ τοῖς
τρισὶ δακτύλοις συσφίγξας αὐτὴν ἐν τῇ παλάμῃ, τοῖς
λοιποῖς δυσὶ δακτύλοις λαμβάνει ἄλλην μερίδα καὶ
δίδωσιν αὐτῷ. Ὁ δὲ κάτωθεν μὲν ὑποθεὶς τὴν ἀρι-
στερὰν χεῖρα, ἐπιθεὶς δὲ αὐτῇ τὴν δεξιάν, δέχεται
φ. 49r ταύτην καὶ συσφίγγει τοῖς // δακτύλοις πρὸς τὸ μὴ
ἐκπεσεῖν τι. Καὶ ἀσπάζεται τὴν χεῖρα τοῦ πατριάρχου
καὶ τὴν παρειάν, τοῦ μὲν πατριάρχου λέγοντος· Ὁ
Χριστὸς ἐν μέσῳ ἡμῶν, τοῦ δὲ ἀρχιερέως· Καὶ ἔστι καὶ
ἔσται. Καὶ κύψαντες ἀμφότεροι ἔμπροσθεν τῆς ἁγίας
τραπέζης, εὔχονται καθ᾽ ἑαυτοὺς λέγοντες· Τοῦ δεί-
πνου σου τοῦ μυστικοῦ... Εἶτα· Πιστεύω, Κύριε, καὶ
ὁμολογῶ, ὅτι σὺ εἶ ὁ Χριστός, ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ
ζῶντος, ὁ κατελθὼν ἐκ τῶν οὐρανῶν καὶ σαρκωθεὶς ἐκ
Πνεύματος ἁγίου εἰς τὸ σῶσαι ἁμαρτωλούς, ὧν πρῶτός
εἰμι* ἐγώ. Καὶ τελευταῖον εἰπόντες τό· Μή μοι εἰς
κρῖμα ἢ εἰς κατάκριμα γένοιτο ἡ μετάληψις τῶν ἁγίων
σου μυστηρίων, Κύριε, ἀλλ᾽ εἰς ἴασιν ψυχῆς καὶ σώμα-
τος, μεταλαμβάνει ἑκάτερος τοῦ ἐν χερσὶ μετὰ φόβου
καὶ πάσης ἀσφαλείας, τὰς χεῖρας ἔχοντες ἐπάνω τῆς

ἁγίας τραπέζης. Εἶτα ἀποσπογγίζουσιν αὐτὰς μετὰ
τοῦ εἰλητοῦ.

Ὁ δὲ ἀρχιερεὺς λαβὼν τὸ πρῶτον ποτήριον, μετα-
δίδωσι τῷ πατριάρχῃ, κρατοῦντι ἐπὶ τοῦ πώγωνος καὶ
τοῦ στήθους κάλυμμα. Λαβὼν τοίνυν ὁ πατριάρχης
καὶ ἀμφοτέραις ταῖς χερσὶ τὸ ποτήριον // μετὰ τοῦ φ. 49v
καλύμματος, μεταλαμβάνει τρίτον ἐξ αὐτοῦ. Καὶ
μετὰ τοῦτο, τὰ χείλη ἑαυτοῦ τε καὶ τοῦ ἱεροῦ ποτηρίου
τῷ ἐν χερσὶ καλύμματι ἀποσπογγίσας καὶ αὐτοῦ που
παρὰ τὸ χεῖλος ἔξω τὸ ποτήριον ἀσπασάμενος, λαμ-
βάνει μὲν αὐτὸς τὸ ποτήριον, δίδωσι δὲ τῷ ἀρχιερεῖ τὸ
κάλυμμα. Καὶ οὕτω μεταλαμβάνει καὶ αὐτὸς ὁμοίως
τὰ αὐτὰ ποιῶν.

Καὶ οὕτως ὁ μὲν ἀρχιερεὺς λαβὼν τὸ ποτήριον μετὰ
τοῦ καλύμματος, συνεργούντων αὐτῷ καὶ διακόνων
τινῶν δι᾽ ἀσφάλειαν, ἵσταται ἐπὶ τοῦ δεξιοῦ κίονος
ἐκδεχόμενος τοὺς προσερχομένους ἐπὶ τῷ μεταλαβεῖν.
Ὁ δὲ πατριάρχης λαβὼν τὸν ἅγιον δίσκον, μεταδίδωσι
τοῖς λοιποῖς ἀρχιερεῦσι καὶ πρεσβυτέροις τῶν μερίδων
τοῦ ἁγίου ἄρτου. Καὶ ποιοῦσιν ἕκαστος ὡς ἄνωθεν
εἴρηται. Εἶτα μεταλαμβάνουσι καὶ ἀπὸ τοῦ ἁγίου πο-
τηρίου. Τῷ δὲ πρώτως κοινωνήσαντι ἀρχιερεῖ ἐπιδίδοται*
παρὰ τῶν διακόνων τὸ δεύτερον ποτήριον, καὶ ἵσταται
ἐν τῷ ἀρι//στερῷ κίονι, καὶ μετ᾽ αὐτοὺς ἵστανται οἱ τὰ φ. 50r
λοιπὰ ποτήρια κατέχοντες.

Οἱ δὲ διάκονοι, πρότερον ἀπελθόντες ἐν μέρει τοῦ
ἁγίου βήματος καὶ συγχώρησιν παρ᾽ ἀλλήλων ἐξαιτη-
σάμενοι καὶ λαβόντες, δεσμήσαντες ἅμα καὶ τὰ ὠράρια
ἑαυτῶν, προσέρχονται καὶ αὐτοὶ καὶ μεταλαμβάνουσι
τοῦ τε ἁγίου ἄρτου καὶ τοῦ ἁγίου ποτηρίου.

Τῆς δὲ κοινωνίας τελεσθείσης, τὰ μὲν ποτήρια ἀπο-
τίθενται παρὰ τῶν διακόνων ἐν τῇ ἁγίᾳ τραπέζῃ, ὁ δὲ
δευτερεύων τῶν διακόνων, λαβὼν μετὰ χεῖρας τόν τε
ἅγιον δίσκον καὶ τὴν μοῦσαν, εἰσκομίζει πάντα ἐν τῷ
ἁγίῳ ποτηρίῳ μετὰ φόβου καὶ πάσης ἀσφαλείας, ὥστε
μηδέν τι τῶν λεπτοτάτων ἐκπεσεῖν ἢ καταλειφθῆναι.
Ὁ δὲ πατριάρχης, τούτου γινομένου, ἐπιλέγει τὴν τῆς
εὐχαριστίας εὐχήν.

Εὐχὴ μετὰ τὴν ἁγίαν μετάληψιν·

Εὐχαριστοῦμέν σοι, Δέσποτα φιλάνθρωπε, εὐεργέ-

φ. 50v τα τῶν ψυχῶν ἡμῶν, ὅτι καὶ τῇ παρούσῃ ἡμέρᾳ κατηξίωσας ἡμᾶς τῶν // ἐπουρανίων σου καὶ ἀθανάτων μυστηρίων. Ὀρθοτόμησον ἡμῶν τὴν ὁδόν, στήριξον ἡμᾶς ἐν τῷ φόβῳ σου τοὺς πάντας, φρούρησον ἡμῶν τὴν ζωήν, ἀσφάλισαι ἡμῶν τὰ διαβήματα, εὐχαῖς καὶ ἱκεσίαις τῆς ἐνδόξου Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας καὶ πάντων τῶν ἁγίων σου.

Ὁ δὲ δευτερεύων τῶν διακόνων, τὴν λαβίδα ἐν τῷ ποτηρίῳ βαλὼν καὶ καλύψας αὐτὸ μετὰ τοῦ καλύμματος, αἴρει αὐτό. Καὶ προπορευόμενος τοῦ πατριάρχου, ἔρχεται εἰς τὰς ἁγίας θύρας καὶ δείκνυσι τοῖς ἐκτὸς λέγων· Μετὰ φόβου Θεοῦ καὶ πίστεως προσέλθετε.

Αὐτὸς δὲ ὁ πατριάρχης, λαβὼν ἀπὸ τῶν τοῦ διακόνου χειρῶν τὸ ἅγιον ποτήριον, μεταδίδωσι διὰ τῆς λαβίδος τοῖς ὑποδιακόνοις καὶ ἀναγνώσταις τοῦ ἁγίου σώματος καὶ αἵματος. Καὶ μετὰ τοῦτο, εὐλογεῖ τὸν λαὸν λέγων· Σῶσον, ὁ Θεός, τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου.

φ. 51r // Τοῦ δὲ ἁγίου ποτηρίου ἀποτεθέντος ἐν τῇ ἁγίᾳ τραπέζῃ, λαβὼν ὁ δευτερεύων τῶν διακόνων τὸν θυμιατὸν καὶ θυμίαμα βαλὼν καὶ συνήθως λαβὼν ἐπ' αὐτῷ εὐλογίαν παρὰ τοῦ πατριάρχου, θυμιᾷ τὰ ἅγια ἐκ τρίτου λέγων ἠρέμα· Ὑψώθητι ἐπὶ τοὺς οὐρανούς, ὁ Θεός, καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα σου. Καὶ μετατίθησι τὸν θυμιατὸν ἐν τῷ ἰδίῳ τόπῳ. Ὁ δὲ πατριάρχης, λαβὼν τὸν ἅγιον δίσκον κεκαλυμμένον ὄντα, ἐπιτίθησι τῇ κεφαλῇ ἑνὸς τῶν διακόνων. Καὶ πρῶτον μὲν λέγει ἠρέμα· Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, εἶτα ἐκφωνεῖ· Πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Καὶ ψαλλομένου τοῦ Πληρωθήτω..., ὁ μὲν τὸν δίσκον λαβὼν διάκονος ἀπέρχεται ἐν τῇ προθέσει, λαμβάνουσι δὲ τὰ ἅγια ποτήρια πρεσβύτεροι καὶ ἀποφέρουσιν αὐτὰ ἐν τῇ προθέσει. Ἀπέρχονται δὲ καὶ οἱ διάκονοι σὺν αὐτοῖς κατὰ τὸν ἀριθμὸν τῶν ποτηρίων καὶ εἰσκομίζουσι τὰ ἅγια. Οἱ δὲ ὑποδιάκονοι εἰσερχόμενοι εἰς τὸ ἅγιον βῆμα, διδόασι νίψιμον τῷ πατριάρχῃ.

φ. 51v // Ὁμοίως καὶ πάντες οἱ κοινωνήσαντες, ἀπερχόμενοι ἐν τῷ συνήθει τόπῳ, ἀπονίπτονται τὰς χεῖρας καὶ τὰ

πρὸ τῶν χειλέων ἑαυτῶν, λέγοντες καθ' ἑαυτούς· Νῦν ἀπολύεις..., τρισάγιον, Παναγία Τριάς..., Πάτερ ἡμῶν..., ἀπολυτίκιον καὶ κοντάκιον τῆς ἡμέρας καὶ θεοτοκίον, τὸ Κύριε, ἐλέησον τρίς, Τὴν τιμιωτέραν... καὶ ἀπόλυσιν.

Μετὰ δὲ τὸ πληρῶσαι τοὺς ψάλτας τὸ Πληρωθήτω..., ὁ ἀρχιδιάκονος, ἐξελθὼν ἐν τῇ σωλίᾳ, ἢ[36] εἴπερ ἔνι χειροτονία διακόνου, ὁ χειροτονηθεὶς διάκονος, καὶ εἰς τὸν ἄμβωνα ἀνελθών, λέγει τὰ διακονικὰ ταῦτα·

Ὀρθοί· μεταλαβόντες τῶν θείων, ἁγίων, ἀχράντων, ἀθανάτων, ἐπουρανίων, ζωοποιῶν, φρικτῶν τοῦ Χριστοῦ μυστηρίων, εὐχαριστήσωμεν τῷ Κυρίῳ. Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς... Τὴν ἡμέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον αἰτησάμενοι, ἑαυτοὺς καὶ ἀλλή...

Ὁ δὲ πατριάρχης, τοῦ εἰλητοῦ διπλουμένου, ἐκφωνεῖ οὕτως· Ὅτι σὺ εἶ ὁ ἁγιασμὸς ἡμῶν καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ // Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. φ. 52r

Ὁ διάκονος· Ἐν εἰρήνῃ προέλθωμεν. Τοῦ Κυρίου δεηθῶμεν. Καὶ ἐξέρχεται ὁ δευτερεύων τῶν ἱερέων, ἢ ὁ χειροτονηθεὶς πρεσβύτερος, καὶ ἀπέρχεται ὄπισθεν τοῦ ἄμβωνος καὶ λέγει μεγαλοφώνως τὴν εὐχὴν ταύτην.

Εὐχὴ ὀπισθάμβωνος ἐκφωνουμένη·

Ὁ εὐλογῶν τοὺς εὐλογοῦντάς σε, Κύριε, καὶ ἁγιάζων τοὺς ἐπὶ σοὶ πεποιθότας, σῶσον τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου· τὸ πλήρωμα τῆς Ἐκκλησίας σου φύλαξον, ἁγίασον τοὺς ἀγαπῶντας τὴν εὐπρέπειαν τοῦ οἴκου σου, σὺ αὐτοὺς ἀντιδόξασον τῇ θεϊκῇ σου δυνάμει καὶ μὴ ἐγκαταλίπῃς ἡμᾶς τοὺς ἐλπίζοντας ἐπὶ σέ· εἰρήνην τῷ κόσμῳ σου δώρησαι, ταῖς ἐκκλησίαις σου, τοῖς ἱερεῦσι, τοῖς βασιλεῦσιν ἡμῶν, τῷ στρατῷ καὶ παντὶ τῷ λαῷ σου, ὅτι πᾶσα δόσις // φ. 52v ἀγαθὴ καὶ πᾶν δώρημα τέλειον ἄνωθέν ἐστι καταβαῖνον ἐκ σοῦ τοῦ Πατρὸς τῶν φώτων· καὶ σοὶ τὴν δόξαν καὶ εὐχαριστίαν καὶ προσκύνησιν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ταύτης δὲ λεγομένης, ὁ πατριάρχης στὰς ἔμπρο-

[36] Σημείωσαι.

σθεν τῶν ἁγίων θυρῶν, ἢ ἕτερος ἀρχιερεὺς ὃν ἂν προτρέψῃ, διανέμει τῷ λαῷ τὸ ἀντίδωρον. Λέγει δὲ καὶ τὴν ἀπόλυσιν ὁ προτραπεὶς ἀρχιερεὺς διανεῖμαι τῷ λαῷ τὸ ἀντίδωρον. Ὁ δὲ τὴν ὀπισθάμβωνον εὐχὴν εἰπὼν ἱερεύς, ἀπελθὼν ἐν τῇ προθέσει, λέγει κἀκεῖ τὴν εὐχὴν ταύτην.

Εὐχὴ λεγομένη ἐν τῷ σκευοφυλακίῳ·

Τὸ πλήρωμα τοῦ νόμου καὶ τῶν προφητῶν αὐτὸς ὑπάρχων, Χριστέ, ὁ Θεὸς ἡμῶν, ὁ πληρώσας πᾶσαν πατρικὴν οἰκονομίαν, πλήρωσον χαρᾶς καὶ εὐφροσύνης
φ. 53r τὰς καρδίας ἡμῶν, // πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Οἱ μέντοι τὰ ἅγια εἰσκομίζοντες διάκονοι, μετὰ πάσης προσοχῆς καὶ ἀσφαλείας συστέλλουσιν αὐτά, ἀποπλύναντες τρίτον τὰ ἅγια ποτήρια τῷ οἴνῳ καὶ τῷ ὕδατι καὶ ἐκμάσσοντες ἀκριβῶς πᾶσαν τὴν ὑγρότητα τῷ σπόγγῳ, ὥστε μὴ ἐναπολειφθῆναι τὴν τυχοῦσαν νοτίδα. Ταῦτα δὲ συστείλαντες καὶ διαθέντες καλῶς, ἀπονίπτονται καὶ αὐτοὶ ὁμοίως τοῖς λοιποῖς ἐν τῷ συνήθει τόπῳ, λέγοντες καὶ τὰ προειρημένα.

Ὁ μέντοι πατριάρχης, μετὰ τὸ πληρωθῆναι τὸ Εὐλογήσω τὸν Κύριον..., ἤγουν μετὰ τὸ διανεῖμαι τὸ ἀντίδωρον, αὐτόθι ἱστάμενος εἰς τὰς ἁγίας θύρας, ἐκφωνεῖ· Εὐλογία Κυρίου ἐφ᾽ ἡμᾶς, τῇ αὐτοῦ χάριτι καὶ... Τοῦτο δὲ λέγων σφραγίζει καὶ τὸν λαόν. Καὶ οὕτως ὁ μὲν λαὸς λέγουσι Δόξα... Καὶ νῦν... Κύριε, ἐλέησον τρίς, ὁ δὲ ἀρχιερεὺς ποιεῖ ἀπόλυσιν. Εἰ μὲν δεσποτική ἐστιν* ἑορτή, κατάλληλον τῇ ἑορτῇ, εἰ δ᾽ ἁγίου μεγάλου τινός ἐστι μνήμη, ἐκφωνεῖ ἐν τῇ ἀπο-
φ. 53v λύσει καὶ τὸ τοῦ ἁγίου ὄνομα, καὶ τὰ // λοιπὰ καθὼς προεγράφη. Καὶ σφραγίζει τρὶς τὸν λαόν[37].

Καὶ ὑποστρέψας ἀποδύεται τὰ ἀρχιερατικά, κάτω που ἱστάμενος περὶ τὰς τοῦ συνθρόνου βαθμίδας, λεγόντων τῶν διακόνων τῶν ὑπηρετούντων τό· Νῦν ἀπολύεις..., τρισάγιον, Παναγία Τριάς..., Πάτερ ἡμῶν..., τὸ ἀπολυτίκιον τῆς ἡμέρας καὶ τὸ κοντάκιον, Δόξα... Καὶ νῦν..., Τὴν τιμιωτέραν... καὶ ποιεῖ ὁ πατριάρχης ἠρέμα τὴν ἀπόλυσιν. Καὶ καθήμενος ἐν τῷ σελίῳ αὐτοῦ μικρὸν ἀναπαύεται. Εἶτα ἀναστὰς καὶ προσκυνήσας ἔμπροσθεν τῆς ἁγίας τραπέζης καὶ τῷ Θεῷ εὐχαριστήσας ἐπὶ πᾶσι, καὶ Δόξα σοι, Κύριε, πάντων ἕνεκεν ἐπειπών, ἐξέρχεται.

[37] Στὸ περιθώριο· Ἢ καὶ οὕτως· μετὰ τὸ Εὐλογία Κυρίου... λέγει τὸν στίχον τοῦτον ἀντὶ ἀπολύσεως· Διὰ πρεσβειῶν τῆς παναχράντου σου Μητρὸς καὶ πάντων σου τῶν ἁγίων, Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν, ἐλέησον ἡμᾶς. Καὶ οὕτως ἀπέρχεται.

Διὰ δευτέρας, μεταγενεστέρας χειρός· Ἡ παροῦσα οὐ λέγεται παρὰ ἀρχιερέων ἢ ἱερέων, ἀλλὰ παρὰ τῶν διακόνων μόνον.

ΕΚΔΟΣΕΙΣ ΒΟΗΘΗΜΑΤΑ

Μητροπολίτου πρ. Λεοντοπόλεως Σωφρονίου Εὐστρατιάδου καὶ Γέροντος Ἀρκαδίου ἱεροδιακόνου Βατοπεδινοῦ, *Κατάλογος τῶν ἐν τῇ ἱερᾷ μονῇ Βατοπεδίου ἀποκειμένων κωδίκων*. Paris, 1924.

Τρεμπελα Π., *Αἱ τρεῖς λειτουργίαι κατὰ τοὺς ἐν Ἀθήναις κώδικας*. Ἀθῆναι, 1935.

Φουντουλη Ἰω., *Ἀπαντήσεις εἰς λειτουργικὰς ἀπορίας* (600). Ἀθήνα-Θεσσαλονίκη, 1967-2003.

Акишин С. Ю. «Диатаксис» // Православная энциклопедия, 14. Москва, Церковно-научный центр Русской Православной Церкви «Православная Энциклопедия», 2007, 628-629.

Дмитриевский А. А., *Описание литургических рукописей, хранящихся в библиотеках православного востока*. I-II-III, Киев / Петроград, 1895, 1901, 1917.

Красносельцев Н. Ф., *Материалы для истории чинопоследования литургии святого Иоанна Златоуста*. Казань, 1889.

Красносельцев Н. Ф., *Сведения о некоторых литургических рукописях Ватиканской библиотеки...*. Казань, 1885.

Мансветов И. Д., *Митрополит Киприан в его литургической деятельности*. Москва, 1882.

Мансветов И. Д., *Церковный устав, его образование и судьба в греческой и русской церкви*. Москва, 1885.

Муретов С. Д., прот., *К материалам для истории чинопоследования литургии*. Сергиев Посад, 1895.

Орлов М. И., прот., *Литургия св. Василия Великого*. С-Петербург, 1909.

Печатнов В. В., *Божественная литургия в России и Греции*. Москва, 2008.

Филарет, игумен., *Чин литургии св. Иоанна Златоустого по изложению старопечатных, новоисправленного и древлеписьменных Служебников*. Москва, ³1899.

Goar J., *Εὐχολόγιον sive rituale graecorum...*. Venetiis, ²1730.

Zheltov M., *A Slavonic Translation of the Eucharistic Diataxis of Philotheos Kokkinos from a Lost Manuscript (Athos Agiou Paulou 149)* // Τοξότης. Studies for Stefano Parenti. Αναλεκτα Κρυπτοφερρης 9. Grottaferrata, 2010. 345-359.

Migne J.-P., *Patrologiae Graecae* (τόμοι 78, 140, 155).

Papachryssanthou D., *Histoire d'un évêché byzantin: Hiérissos en Chalcidique. Travaux et Mémoires 8*: 373-396, 1981.

Taft R. F., *The Great Entrance*. Roma, ²1978.

Taft R. F., *The Diptychs*. Roma, 1991.

Taft R. F., *The Precommunion Rites*. Roma, 2000.

Taft R. F., *The Communion, Thanksgiving and Dismissal*. Roma, 2007.

Taft R. F., *The Pontifical Liturgy of the Great Church according to a TwelfthCentury Diataxis in Codex British Museum Add. 34060*, OCP. 1979. Vol. 45. P. 279–307; 1980. Vol. 46. P. 89–124.

Verhelst S., Xevsuriani L., Shanidze M., Kavtaria M., Tseradze T., *Liturgia ibero-græca sancti Iacobi Dei fratris*. Münster (Germany), 2011.

ΠΕΡΙΕΧΟΜΕΝΑ

Ο ΤΟΜΟΣ Α΄ ΤΟΥ
ΒΙΒΛΙΟΥ ΔΙΑΤΑΞΕΙΣ ΤΗΣ
ΘΕΙΑΣ ΛΕΙΤΟΥΡΓΙΑΣ
ΚΑΤΑ ΤΑ ΒΑΤΟΠΑΙΔΙΝΑ
ΧΕΙΡΟΓΡΑΦΑ ΤΟΥ ΙΔ΄
ΑΙΩΝΑ ΣΤΟΙΧΕΙΟΘΕΤΗΚΕ
ΚΑΙ ΣΕΛΙΔΟΠΟΙΗΘΗΚΕ
ΣΤΗΝ ΙΕΡΑ ΜΕΓΙΣΤΗ
ΜΟΝΗ ΒΑΤΟΠΑΙΔΙΟΥ
ΤΥΠΩΘΗΚΕ ΣΤΗΝ
ΛΥΧΝΙΑ Α.Ε. ΚΑΙ ΒΙΒ
ΛΙΟΔΕΤΗΘΗΚΕ ΑΠΟ
ΤΗΝ ΚΥΠΡΗΣ ΕΚΔΟΤΙΚΗ
ΙΚΕ ΤΟΝ ΜΑΡΤΙΟ ΤΟΥ
2019 ΓΙΑ ΛΟΓΑΡΙΑΣΜΟ
ΤΗΣ ΙΕΡΑΣ ΜΕΓΙΣΤΗΣ
ΜΟΝΗΣ ΒΑΤΟΠΑΙΔΙΟΥ
ΑΓΙΟΥ ΟΡΟΥΣ ΜΕ ΤΗΝ
ΕΥΓΕΝΙΚΗ ΧΟΡΗΓΙΑ
ΤΗΣ ΟΙΚΟΓΕΝΕΙΑΣ
ΜΑΞΙΜΟΒ ΒΙΚΤΩΡΟΣ
ΕΛΕΝΗΣ ΚΑΙ ΚΥΡΙΛΛΟΥ

Α΄ Ἔκδοση: Μάρτιος 2019
Ἀντίτυπα Α΄ ἐκδόσεως: 1.000

